Philol.

R
1772

Bd. 1023.

Hermanni Conringij
ch. 50. c. XXIX
Lugd. Batavor.

ΝΕΜΕΣΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΚΑΙ ΦΙΛΟΣΟΦΟΥ ΠΕΡΙ ΦΥΣΕΩΣ ΑΝΘΡΩΠΟΥ,

ΒΙΒΛΙΟΝ ΕΝ.

NEMESII EPISCOPI ET PHILOSOPHI DE NATVRA HOMINIS, LIB. VNVS,

Nunc primùm & in lucem editus, & Latinè conuersus à Nicasio Ellebodio Casletano.

ANTVERPIÆ,
Ex officina Christophori Plantini,
M. D. LXV.

BIBLIOTH: ACADEM: DORPAT:

4-II A
5125
u 219917668

ΝΙΚΑΣΙΟ ΣΕΛΛΕΒΟΔΙΟΣ

ΚΑΣΛΕΤΑΝΟΣ ΤΩ ΠΕΡΙΦΑΝΕΣΤΑΤΩ ΚΑΙ ΑΙΔΕΣΙΜΩΤΑΤΩ ΚΑΡΔΙΝΑΛΕΙ ΑΝΤΩΝΙΩ ΠΕΡΡΕΝΟΤΤΩ ΧΑΙΡΕΙΝ.

Τὸ περὶ φύσεως ἀνθρώπου τοῦ Νεμεσίου βιβλίον προειλόμην σοι προσφωνῆσαι κράτιστε Αντώνιε Καρδινάλι, οὐ τοσοῦτον εἰς τὴν τῶν γένους σου λαμπρότητα καὶ τὴν δόξαν ἀποβλέψας ἣν ἔχεις ἐπὶ φρονήσει καὶ πολιτικῇ δεινότητι, πλείστων τε καὶ μεγίστων ἀξιωμάτων μεταχὼν, καὶ τῶν πρώην μὲν παρὰ Κάρλῳ τῷ αὐτοκράτορι, νυνὶ δὲ παρὰ βασιλεῖ Φιλίππῳ τῷ ἐκείνου υἱῷ μέγα δυναμένων ἐν τοῖς πρώτοις συνεξεταζόμενος, ὅσον ὑπὸ τῆς ἄλλης σου παιδείας καὶ τῆς περὶ τοὺς λόγους ἐμπειρίας εἰς τοῦτο προαχθείς· πρέπουσαν ταύτην ὑπόθεσιν τῇ φύσει σου πορίσασθαι νομίσας εἰ τοῖς ἐπιτηδεύ-

μασι σου κατάλληλον ἕξεις τὴν ἀπὸ τῶν ἀναγνωσμάτων ὠφέλειαν. οὐδὲν γὰρ οἶμαι χρήσιμον οὔτε περισπούδαστον οὕτω τοῖς ἀνθρώποις ὡς ἡ περὶ τῆς ἀνθρωπίνης φύσεως θεωρία τε καὶ κατάληψις. δι' ἧς ἕκαστος οἷος τὴν φύσιν ἐστι καταμαθὼν, οἰκείως ἀνθρώπῳ καὶ πρεπόντως κοσμήσει τὴν ἑαυτοῦ διάνοιαν. τῶν μὲν οὖν εἰς ταύτην ἑαυτοὺς καθέντων τὴν πραγματείαν, οὐδενὸς ἔχομεν τῶν ἀρχαίων ὅ, τι καὶ λόγου ἄξιον ὑπόμνημα, πλὴν Ιπποκράτους. οὗτος δὲ τῶν μὲν περὶ ψυχῆς λόγων οὐ πάνυ τι φαίνεται φροντίσας, περὶ δὲ τοῦ σώματος, ὅσπερ ἦν αὐτῷ τῆς περὶ τὴν ἰατρικὴν θεωρίας σκοπὸς, τὰ πλεῖστα πραγματεύεται. Νεμέσιος δὲ οὗτοσὶ τὴν αὐτὴν Ιπποκράτει ποιησάμενος ὑπόθεσιν, τῶν τε περὶ τοῦ σώματος ἅπτεται λόγων ὅσον ἀπόχρη τῇ ὑποθέσει, καὶ τὸ κυριώτατον τῶν ἐν ἀνθρώπῳ προχειρισάμενος τὴν ψυχὴν, καὶ ταύτην πολλαχῶς εἰς τὰ μόρια διελὼν καὶ τούτων ἑκάστοις ἀκριβῶς ἐπεξελθὼν καὶ ὡς ἐνῆν μάλιστα ἐπεξεργασάμενος, τελεώτερόν τε ἅμα καὶ ἀληθέστερον τὸν ἀληθινὸν ὑπέγραψεν ἄνθρωπον. ἐπειδὴ δὲ τῶν πρακτικῶν τῆς ψυχῆς δυνάμεων ἡ βούλησις τὸ κυριώτατον, περὶ ἧς οἱ κλει-

νοὶ

νοὶ τῶν φιλοσόφων πολλὰς κατεβάλοντο πραγματείας, ἄνωθεν τὸν περὶ τοῦ ἑκουσίου καὶ ἀκουσίου, προαιρέσεως τε καὶ τοῦ βουλεύεσθαι λόγον ἀναλαβὼν, περὶ ὧν ὅ, τε Αριστοτέλης ἐν τῷ τρίτῳ τῶν ἠθικῶν καὶ ὁ Δαμασκηνὸς Ιωαννης ἐν τῇ τῆς ὀρθοδόξου πίστεως ἐκδόσει σχεδὸν τοῖς αὐτοῖς ῥήμασι διαλέγονται, ἐπὶ τὸ θρυλλούμενον μέτεισι ζήτημα τὸ περὶ εἱμαρμένης καὶ τοῦ ἐφ' ἡμῖν. καὶ ταῦτα φιλαλήθως τε καὶ ἀκριβῶς ἐξετάσας καὶ διασκεψάμενος, τέλος ἄριστον ἐπέθηκε τῇ πραγματείᾳ, εἰς τὸν περὶ προνοίας λόγον καταλήξας, καὶ νοῦν ἔφορον καὶ πρύτανιν ταῖς κατὰ τὸν βίον πράξεσιν ἐπιστήσας, καὶ συνελόντι φάναι ἅπαντα τῆς ἐκεῖθεν ἀναρτήσας κηδεμονίας τε καὶ διακοσμήσεως. Τοιοῦτος μὲν οὖν ὁ Νεμέσιος οὐχ ἧττον τῆς τε μεθόδου τῶν θεωρημάτων καὶ τάξεως αὐτῶν καὶ εὐκρινείας ἢ τῆς πολυμαθίας ἄξιος θαυμάζεσθαι. φαίνεται γὰρ ὀλίγῳ μεταγενέστερος γεγονὼς τῶν περὶ Ευνόμιον καὶ Απολινάριον τὸν Σῦρον καὶ Βασίλειον καὶ Γρηγόριον τοὺς καππαδόκας, ὅτε καὶ παντοδαπῶν ἦν εὐπορία συγγραμμάτων, αἵτε κατὰ φιλοσοφίαν αἱρέσεις ἔτι παρ' ἕλλησιν ἐσώζοντο. ὧν οὐδεμιᾷ φαί-

νεται

νεται προσέχων, ἔτε ταῖς ἑτέρων πθανολογίαις ἀγόμθμος. παντα χῆ δὲ τὴν ἀλήθειαν προτιμῶν ἐπ' ἀδείας πειρᾶται φιλοσοφεῖν, τὰ μὲν ἐλέγχων ὅσῳ παρείκοι, τοῖς δ' ἐφισάνων, τὰ δ' ἐγκρίνων τῆ δογμάτων. γεγονώτε τὴν θρησκείαν χριστιανὸς, κὴ ταῦτα Εμέσης, ἔστ δὲ ἡ Εμεσα πόλις Φοινίκης, ἐπίσκοπος, πολλα χῆ τῆ συγγράμματος περὶ τῆ ἀρεσκόντων χριστιανοῖς πρὸς τοὺς φιλοσόφες ἀγωνίζεται, ἀποδεικτικῶς πάνυ κὴ φιλοσόφως τὴν καθ' ἡμᾶς συνιςῶν θεολογίαν, οἷον ἐκεῖνο τὸ περὶ τῆς πρὸς τὸν ἄνθρωπον ἑνώσεως τῆ θεῆ λόγε, τὸ περὶ τῆ ἐφ' ἡμῖν, τὸ περὶ προνοίας. ἐν ὅις ἅπασιν ὀρθῶς φαίνεται θεολογῶν κὴ τῆ ἀκριβες έρων ἐχόμθμος δογμάτων. πλὴν ὅσον ἐις τὴν τῆ ψυχῶν προϋπαρξιν ἥκει, δῆλός ὅςι τὴν Πλάτωνος κὴ Πυθαγόρε δόξαν εἰσάγων, οἷον κὴ Ωριγένης ἐπεπόνθει, καίπνες ἄλλοι τῆ κατ' ἐκεῖνο καιρῆ χριστιανῶν ἄλλως τε τῆ περὶ φιλοσοφίαν διατριβόντων. ἔπω τότε τῆς αἱρέσεως ταύτης κοινῆ δόγματι τῆς ἐκκλησίας κατεψηφισμένης· ἐξ ὧν κὴ δείκνυται ὁ φιλόσοφος ἔτος πρὸ τῆ τῆ Ιεσινιανῆ χρόνων βεβιωκώς, εἴγε ἐπὶ τούτου πρῶτον

πρῶτον τῆ βασιλέως αἱ τῆ Ωριγένους θέσεις κατεψηφίθησαν, ἐπὶ τέτῳ εἰς τὸ Βυζάντιον τῆς πέμπτης οἰκουμθμικῆς συναχθείσης συνόδου. ἔδοξε δέμοι τὸ βιβλίον εἰς τὴν τῆ ῥωμαίων διάλεκτον μεταφράσαι, τῆ φιλομαθῶν χάριν ἁπλὴν ποιησαμένῳ τὴν ἔκδοσιν, κὴ μηδὲ τὴν ἑλληνικὴν ὑπ' ἀρχαιότητος διαπεσεῖν κινδυνεύουσαν περιῖδεῖν. πόλις γάρ ποτε δυσὶν ἐνετύχομεν ἀντιγράφοις κὴ τούτοις ἀνηκέστως διεφθαρμένοις κὴ μυρίων ἁμαρτημάτων γέμουσιν. ὅις ὅπιμελέστερον ὅπιβαλόντες κὴ τῶν ἐν ἑκατέροις ἁμαρτημάτων ἐκ τῶν παρ' ἑκατέροις ὀρθῶς ἔχειν δοκούντων κατασοχασάμθμοι, κ' ἀκ τῶν ἐνόντων ὅπιδιορθώσαντες ὑγιεςέραν παρὰ πολὺ τ προτέρας τὴν γραμματείαν παρεσκευάσαμεν. ὁ μέντοι γε γρώην τὸ βιβλίον εἰς τὴν ῥωμαίων διάλεκτον μετενεγκεῖν ἐγχειρήσας, Γεώργιος ὁ Βάλλης, οὐ μᾶλλον ἡρμήνευσεν ἢ συνέχεε κὴ κατῆχησε τὸν φιλόσοφον, καθ' ἑκάςην σχεδὸν περίοδον τῆς τῆ Νεμεσίου διανοίας ἀποπίπτων, κ' ἀν τοῖς κατημαξευμένοις τουτοισὶ τῆ λέξεων χήμασιν ὑπ' ἀμαθείας γελοίως ἀπαλλάττων. ἢ

μὲν οὖν ἡμετέρα σπουδή τε καὶ προαίρεσις αὕτη σοι λαμπρότατε Καρδιναλι. σὺ δὲ ταύτης ἡμᾶς ἀποδεξάμενος, δίκαιος ἂν εἴης τῶν μὲν κατορθωμένων ἐπαινεῖν, τῶν δὲ παρειμένων συγγνώμην ἔχειν. ἔρρωσο. ἐκ Παζαβίε. α φ ξ δ. μεταγειτνιῶνος μηνὸς τρίτῃ φθίνοντος.

ΝΕΜΕΣΙΟΥ ΠΕΡΙ ΦΥΣΕΩΣ ΑΝΘΡΩΠΟΥ ΚΕΦ. Α.

ΤΟΝ ἄνθρωπον ἐκ ψυχῆς νοερᾶς καὶ σώματος ἄρισα καὶ τεσπευάδης καὶ ἔτω καλῶς, ὡς ἐκ ἐνεδέχετο ἄλλως γενέσθαι καὶ σωτηρίαν, πολλοῖς καὶ ἀγαθοῖς ἀνδράσιν ἔδοξε. τὸ δὲ νοερὰν λέγεσθαι τὴν ψυχὴν ἀμφιβολίαν ἔχοντος πρότερον προσελθὼν ὁ νοῦς τῇ ψυχῇ ὡς ἄλλος ἄλλη νοερὰν αὐτὴν ἐποίησεν, ἢ τὸ νοερὸν ἀφ' ἑαυτῆς ἡ ψυχὴ κατὰ φύσιν κέκτηται, καὶ τοῦτό ἐστιν αὐτῆς τὸ κάλλιστον μέρος, ὡς ὀφθαλμὸς ἐν σώματι· τινὲς μὲν οὖν ὅτι καὶ Πλωτῖνος ἄλλην εἶναι τὴν ψυχὴν καὶ ἄλλον τὸν νοῦν δογματίσαντες, ἐκ τριῶν τὸν ἄνθρωπον συνεστάναι βέλονται, σώματος, καὶ ψυχῆς, καὶ νοῦ. οἷς ἠκολούθησε καὶ Απολλιναρίος ὁ τῆς λαοδικείας γενόμενος ἐπίσκοπος. τοῦτον γὰρ πηδάλιον τῆς θεμελίου τῆς οἰκείας δόξης καὶ τὰ λοιπὰ προσῳκοδόμησε καὶ τὸ οἰκεῖον δόγμα. τινὲς δὲ ἀφεῖλαν ἀπὸ τῆς ψυχῆς τὸν νοῦν· ἀλλὰ τῆς οὐσίας αὐτῆς ἡγεμονικὸν εἶναι τὸ νοερὸν ἡγοῦνται. Αριστοτέλης δὲ τὸν μὲν δυνάμει νοῦν συγκατεσκευάσθαι τῷ ἀνθρώπῳ, τὸν δὲ ἐνεργείᾳ θύραθεν ἡμῖν ἐπεισιέναι δοξάζει. οὐκ εἰς τὸ εἶναι καὶ τὴν ὕπαρξιν τὸ ἀνθρώπῳ συντελοῦντα, ἀλλ' εἰς προκοπὴν τῆς

τῶν φυσικῶν γνώσεως καὶ θεωρίας συμβαλλόμενον. κομιδῇ γοῦν ὀλίγους τῶν ἀνθρώπων καὶ μόνους τοὺς φιλοσοφήσαντας τὸν ἐνεργείᾳ νοῦν ἔχειν διαβεβαιοῦσθαι. Πλάτων δὲ ὁ λέγει τὸν ἄνθρωπον εἶναι τὸ σωαμφότερον, ψυχὴν καὶ σῶμα. ἀλλὰ ψυχὴν σώματι τοιῷδε χρωμένην, * τὸ ἀξιοπρεπέστερον φανταζόμενος τῶν κτ τὸν ἄνθρωπον, καὶ αὐτόθεν ἡμᾶς ὅπως ῥέφων ὡρὸς τὴν τ ψυχῆς μόνης θειότητα καὶ ὑπεμέλφαν, ἵνα τὴν ψυχὴν ἑαυτὸς εἶναι πιστεύοντες τὰ τ ψυχῆς ἀγαθὰ μόνα διώκωμεν, τὰς ἀρετὰς καὶ τὴν εὐσέβειαν, καὶ μὴ τὰς τ σώματος ὑπὸ θυμίας ἀγαπήσωμεν, ὡς ἐκ ἔστας ἀνθρώπους ἢ ἄνθρωπος, ἀλλὰ ζῶα μὲν προηγεμένως, ἀνθρώπους δὲ ἑπομένως, ἐπεὶ δὴ καὶ ζῶον ὁ ἄνθρωπος. καὶ ἄλλως δὲ κυριωτέρα τοῦ σώματος ἡ ψυχὴ πᾶσιν ἀνθρώποις εἶναι καθωμολόγηται. ὑπὸ ταύτης γὰρ ὡς ὄργανον κινεῖται τὸ σῶμα. δηλοῖ δὲ ὁ θάνατος. χωριθείσης γὰρ τῆς ψυχῆς ἀκίνητον μένει τὸ σῶμα παντελῶς καὶ ἀνενέργητον, ὡς τεχνίτου χωριθέντος ἀκίνητα μένει τὰ ὄργανα. γνώριμον δὲ ὅτι καὶ τοῖς ἀψύχοις κοινωνεῖ, καὶ τῆς τῶν ἀλόγων μετέχει ζωῆς, καὶ τ τῶν λογικῶν μετείληφε νοήσεως. κοινωνεῖ γὰρ τοῖς μὲν ἀψύχοις κατὰ τὸ σῶμα καὶ τὴν ἀπὸ τῶν τεσσάρων στοιχείων κρᾶσιν. τοῖς δὲ φυτοῖς κατά τε ταῦτα καὶ τὴν θρεπτικὴν καὶ σπερματικὴν δύναμιν. τοῖς δὲ ἀλόγοις καὶ ἐν τούτοις μὲν, ὅτι μέτρα δὲ κατὰ τὴν τοῦ ὁρμὴν κίνησιν καὶ κτ τὴν ὄρεξιν καὶ

καὶ τὸν θυμὸν καὶ τὴν αἰσθητικὴν καὶ ἀναπνευστικὴν δύναμιν· ταῦτα γὰρ ἅπαντα κοινὰ τοῖς ἀνθρώποις καὶ τοῖς ἀλόγοις ἐστὶν, εἰ καὶ μὴ πᾶσι πάντα. σωπάσεται δὲ διὰ τὸ λογικὸν ταῖς ἀσωμάτοις καὶ νοεραῖς φύσεσι λογιζόμενος καὶ νοῦν καὶ κρίνων ἕκαστα, καὶ τὰς ἀρετὰς μεταδιώκων, καὶ τῶν ἀρετῶν τὸν κολοφῶνα τ εὐσέβειαν ἀπαζόμενος. δι' ὃ καὶ ὥσπερ ἐν μεθορίοις ἐστὶν αἰσθητῆς καὶ νοητῆς οὐσίας. συναπτόμενος κτ τὸ σῶμα καὶ τὰς σωματικὰς δυνάμεις τοῖς ἄλλοις ζώοις καὶ τοῖς ἀψύχοις, κτ δὲ τὸ λογικὸν ταῖς ἀσωμάτοις οὐσίαις, ὡς εἴρηται πρότερον. ὁ γὰρ δημιουργὸς ἐκ τ κατ' ὀλίγον ἔοικεν ὑπὸσωπᾶν ἀλλήλας τὰς διαφόρους φύσεις, ὥστε μίαν εἶναι καὶ συγγενῆ τὴν πᾶσαν κτίσιν. ἐξ οὗ μάλιστα δείκνυται εἷς ὢν ὁ πάντων τῶν ὄντων δημιουργός. ἑνὶ γὰρ μόνον ἥνωσε τὴν ὑπαρξιν τὰ κτ μέρος ἀτόμων, ἀλλὰ καὶ ἑκάστα πρὸς ἄλληλα σωήρμοσεν οἰκείως. ὥσπερ γὰρ ἐν ἑκάστῳ τῶ ζώων ἥνωσε τὰ ἀναίσθητα τοῖς αἰσθητικοῖς, ὅς ἔν καὶ πιμελὴν καὶ ξίφας καὶ τὰ ἄλλα τὰ ἀναίσθητα τοῖς αἰσθητικοῖς νεύροις καὶ σαρξὶ καὶ τοῖς ὁμοίοις, καὶ ἐποίησεν ἐξ ἀναισθήτων καὶ αἰσθητικῶν συγκείμενον τὸ ζῶον, καὶ ἑνὸς μόνου συγκείμενον, ἀλλὰ καὶ ἓν ὂν ἀπέδειξεν· οὕτω καὶ ἐπὶ τῆς ἄλλης κατ' εἶδος κτίσεως πεποίηκε σωπᾶσθαι ἀλλήλοις τῇ κατ' ὀλίγον οἰκειότητι καὶ ἀλλαγῇ τ φύσεως. ὡς μὴ κτ πολὺ διεσπάσθαι τὰ πάντα ἄψυχα τῶν ἐχόντων φυτῶν τὴν θρεπτικὴν

κὴν δύναμιν, μηδ' ἂν ταῦτα τῶν ἀλόγων καὶ αἰσθητικῶν ζώων, μήτε μὴν τὰ ἄλογα τῶν λογικῶν ἀπηλλοτριῶσθαι πάντη καὶ ἀσύμβατα καὶ ἄνευ δεσμοῦ τινὸς εἶναι συμφυοῦς καὶ φυσικοῦ. διαλλάττει μὲν γὰρ λίθος λίθου δυνάμει τινὶ, ἀλλ' ἡ μαγνῆτις λίθος ἐξεληλυθέναι δοκεῖ τὴν τῶν ἄλλων λίθων φύσιν τε καὶ δύναμιν ἐν τῷ προφανῶς ἕλκειν πρὸς ἑαυτὴν καὶ κατέχειν τὸν σίδηρον ὥσπερ τροφὴν αὐτὸ ποιήσασθαι βουλομένη. καὶ μὴ μόνον ἐφ' ἑνὸς σιδήρου τοῦτο ποιεῖν, ἀλλὰ καὶ ἄλλον δι' ἄλλου κατέχειν τῷ μεταδιδόναι τοῖς ἐχομένοις πᾶσι τῆς δυνάμεως ἑαυτῆς. κατέχει γοῦν καὶ ὁ σίδηρος σίδηρον ὅταν ὑπὸ τῆς μαγνήτιδος ἔχηται. εἶτα πάλιν ἑξῆς ἀπὸ τῶν φυτῶν ἐπὶ τὰ ζῶα μετιὼν, οὐκ ἀθρόως ἐπὶ τὴν μεταβατικὴν καὶ αἰσθητικὴν ὥρμησε φύσιν· ἀλλ' ἐκ τοῦ κατ' ὀλίγον ἐμμελῶς ἐπὶ ταύτην προῆλθε. τὰς γὰρ πίνας καὶ τὰς ἀκαλύφας ὥσπερ αἰσθητικὰ δένδρα παρασκεύασεν. ἐρρίζωσε μὲν γὰρ αὐτὰς ἐν τῇ θαλάσσῃ δίκην φυτῶν. καὶ ὥσπερ ξύλα τὰ ὄστρακα περιέθηκε καὶ ἔστησεν ὥσπερ φυτὰ. αἴσθησιν δὲ αὐτοῖς ἐνέθηκε τὴν ἁπτικὴν, τὴν κοινὴν πάντων ζώων αἴσθησιν. ὡς κοινωνεῖν τοῖς μὲν φυτοῖς κατὰ τὸ ἐρριζῶσθαι καὶ ἑστᾶναι, τοῖς δὲ ζώοις κατὰ τὴν ἁφὴν. τὸν γοῦν σπόγγον καίτοι προσπεφυκότα ταῖς πέτραις καὶ συστέλλεσθαι καὶ ἀνοίγεσθαι ἢ μᾶλλον ἐκτείνεσθαι ὅταν προσιόντος αἴσθηται τινὸς, Ἀριστοτέλης ἱστόρησε. Διὸ τὰ ποιαῦτα πάντα ζωόφυτα καλεῖν ἔθος

ἔχουσιν

ἔχουσιν * οἱ σοφοί. πάλιν δὲ ταῖς πίνναις καὶ τοῖς τοιούτοις συνῆψε τὴν τὸν μεταβατικῶν μὲν ζώων γένεσιν, μακρὰν δὲ προελθεῖν μὴ δυναμένων, ἀλλ' αὐτόθεν αὐτοῦ που κινουμένων. τοιαῦτα δέ ἐστι τὰ πλεῖστα τῶν ὀστρακοδέρμων καὶ τὰ καλούμενα τῆς γῆς ἔντερα. εἶθ' οὕτως κατὰ μέρος προστιθεὶς τοῖς μὲν αἰσθήσεις πλείους, τοῖς δὲ τὸ μεταβατικὸν ἐπιπλεῖστον, εἰς τὰ τελειώτερα τῶν ἀλόγων ζώων κατήντησε. Λέγω δὲ τελειώτερα τὰ πάσας ἔχοντα τὰς αἰσθήσεις καὶ προϊέναι μακρὰν δυνάμενα. Πάλιν δὲ μεταβαίνων ἀπὸ τῶν ἀλόγων ἐπὶ τὸ λογικὸν, ζῶον τὸν ἄνθρωπον οὐδὲ τοῦτο ἀθρόως κατεσκεύασεν, ἀλλὰ πρότερον καὶ τοῖς ἄλλοις ζώοις φυσικάς τινας συνέσεις καὶ μηχανὰς καὶ πανουργίας πρὸς σωτηρίαν ἐνέθηκεν, ὡς ἐγγὺς λογικῶν αὐτὰ φαίνεσθαι. καὶ οὕτως τὸ ἀληθὲς λογικὸν ζῶον τὸν ἄνθρωπον προεβάλετο· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῆς φωνῆς ζητῶν εὑρήσεις, ἐξ ἁπλῆς καὶ μονοειδοῦς τῆς ἵππων καὶ βοῶν ἐκφωνήσεως κατὰ μέρος εἰς ποικίλην καὶ διάφορον παραχθεῖσαν τὴν τῶν κοράκων καὶ μιμηλῶν ὀρνέων φωνὴν, ἕως εἰς τὴν ἔναρθρον καὶ τελείαν τὴν ἀνθρώπου κατέληξεν, πάλιν τε τὴν ἔναρθρον διάλεκτον ἐξῆψε τοῖς διανοίας καὶ τῶν λογισμοῦ, ἐξάγγελον ποιήσας αὐτὴν τῶν κατὰ νοῦν κινημάτων. καὶ οὕτω πᾶσι πάντα μουσικῶς συνήρμοσε καὶ συνέδησε καὶ εἰς ἓν συνήγαγε τά, τε νοητὰ καὶ τὰ ὁρατὰ διὰ μέσης τῆς τῶν ἀνθρώπων γενέσεως. Διὸ καὶ καλῶς ὁ Μωϋσῆς

* οἱ παλαοὶ τῶν σοφῶν.

σῆς τὴν δημιουργίαν ἐκτιθέμενος τελευταῖον ἔφησε τὸν ἄνθρωπον γεγενῆσθαι. οὐ μόνον ὅτι πάντων δι' αὐτὸν γενομένων, ἀκόλουθον ἦν πρῶτον τὰ πρὸς τὴν χρῆσιν αὐτοῦ παρασκευασθῆναι, καὶ οὕτως αὐτὸν τὸν χρησόμενον παραχθῆναι, ἀλλ' ὅτι νοητῆς γενομένης οὐσίας καὶ πάλιν ὁρατῆς, ἔδει γενέσθαι τινὰ καὶ σύνδεσμον ἀμφοτέρων, ἵνα ἓν ᾖ τὸ πᾶν καὶ συμπαθὲς ἑαυτῷ, καὶ μὴ ἀλλότριον αὐτὸ ἑαυτοῦ. ἐγένετο οὖν τὸ συνδέον ἀμφοτέρας τὰς φύσεις ζῶον ὁ ἄνθρωπος. τὰ μὲν οὖν τῆς σοφίας τοῦ δημιουργοῦ συντόμως εἰπεῖν, τοιαῦτα. ἐν μεθορίοις οὖν τῆς ἀλόγου καὶ λογικῆς φύσεως ὁ ἄνθρωπος ταχθεὶς, ἐὰν μὲν ἐπὶ τὸ σῶμα ῥέψῃ καὶ τὰ τοῦ σώματος πλέον ἀγαπήσῃ τὸν τῆς ἀλόγων ἀσπάζεται βίον καὶ τούτοις συναριθμήσεται καὶ χοϊκὸς κληθήσεται κατὰ Παῦλον καὶ ἀκούσεται γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσει καὶ παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς. ἐὰν δὲ ἐπὶ τὸ λογικὸν χωρήσῃ καταφρονήσας τῶν σωματικῶν πασῶν ἡδονῶν τὴν θείαντε καὶ μακαριωτάτην ζωὴν μετέρχεται καὶ τὴν ὡς ἀνθρώπου προηγουμένως καὶ ἔσται οἷος ὁ ἐπουράνιος κατὰ τὸ εἰρημένον οἷος ὁ χοϊκὸς τοιοῦτοι καὶ οἱ χοϊκοὶ, καὶ οἷος ὁ ἐπουράνιος τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. τῆς δὲ λογικῆς φύσεως τὸ κεφάλαιον ἐστι τὸ φεύγειν καὶ ἀποστρέφεσθαι τὰ κακὰ, μετιέναι δὲ καὶ αἱρεῖσθαι τὰ καλά. Τῶν δὲ καλῶν τὰ μέν ἐστι κατὰ κοινωνίαν ψυχῆς καὶ σώματος, ἐχόντων καὶ τούτων ἐπὶ τὴν ψυχὴν τὴν ἀναφορὰν οἷον ψυχῆς

προσχρω-

προσχρωμένης σώματι, ὡς αἱ ἀρεταὶ. τὰ δὲ τῆς ψυχῆς αὐτῆς καθ' ἑαυτὴν μόνης μὴ προσδεομένης σώματος, ὡς ἡ εὐσέβεια καὶ ἡ τῶν ὄντων θεωρία. ὅσοι τοίνυν τὸν ἀνθρώπου βίον ὡς ἀνθρώπου ζῆν προαιροῦνται, καὶ μὴ ὡς ζώου μόνον, τὰς ἀρετὰς μετέρχονται καὶ τὴν εὐσέβειαν. τίνα δέ ἐστι τὰ τῶν ἀρετῶν καὶ τίνα τὰ τῆς εὐσεβείας, ἐν τοῖς ἑξῆς διακριθήσεται, ὅταν τὸν περὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀποδῶμεν λόγον. οὐδέπω γὰρ ἐγνωσμένου τί ποτε ἡμῶν ἐστιν ἡ ψυχὴ κατ' οὐσίαν, οὐκ ἔστιν ἀκόλουθον περὶ τῆς ἐνεργείας αὐτῆς διαλαμβάνειν. ἑβραῖοι δὲ τὸν ἄνθρωπον ἐξ ἀρχῆς οὔτε θνητὸν ὁμολογουμένως, οὔτε ἀθάνατον γεγενῆσθαι φασίν. ἀλλ' ἐν μεθορίοις ἑκατέρας φύσεως, ἵνα ἂν μὲν τοῖς σωματικοῖς ἀκολουθήσῃ πάθεσιν, περιπέσῃ καὶ ταῖς σωματικαῖς μεταβολαῖς. ἐὰν δὲ τὰ τῆς ψυχῆς προτιμήσῃ καλὰ τῆς Αθανασίας ἀξιωθῇ. εἰ γὰρ ἐξ ἀρχῆς αὐτὸν θνητὸν ἐποίησεν ὁ Θεὸς, οὐκ ἂν ἁμαρτόντα θανάτῳ κατεδίκασε. Τοῦ γὰρ θνητοῦ θνητότητα οὐδεὶς καταδικάζει. εἰ δ' αὖ πάλιν ἀθάνατον, οὐδ' ἂν τροφῆς αὐτὸν ἐνδεᾶ κατεσκεύασεν. οὐδὲν γὰρ τῶν ἀθανάτων τροφῆς σωματικῆς δεῖται. οὐδ' ἂν οὕτω ῥαδίως μετενόησε. καὶ τὸν γενόμενον ἀθάνατον θνητὸν εὐθέως ἐποίησεν. οὐδὲ γὰρ ἐπὶ τῶν ἁμαρτησάντων ἀγγέλων τοῦτο φαίνεται πεποιηκὼς, ἀλλὰ κατὰ τὴν ἐξ ἀρχῆς φύσιν ἀθάνατοι διέμειναν, ἄλλην τῶν ἡμαρτημένων ἀπεκδεχόμενοι δίκην, ἀλλ' οὐ τὸν θάνατον. βέλτιον οὖν ἢ τοῦτον

τὸν

τὸν τρόπον νοεῖν τὸ προκείμενον, ἢ ὅτι θνητὸς μὲν
κατεσκευάσθη * κατεσκέυαστο, δυνάμενος δὲ ἐκ προκοπῆς τε-
λειούμενος ἀθάνατος γενέσθαι, τουτέστι δυνάμει
ἀθάνατος. ἐπειδὴ δὲ οὐ συνέφερεν αὐτῷ πρὸ τῆς
τελειώσεως γνῶναι τὴν φύσιν ἑαυτοῦ, ἀπηγόρευσεν
αὐτῷ μὴ γεύσασθαι τοῦ ξύλου τῆς γνώσεως. ἦσαν γὰρ,
μᾶλλον δέ εἰσιν ἔτι καὶ νῦν δυνάμεις ἐν τοῖς φυτοῖς
μεγίσται· τότε δὲ ὡς ἐν ἀρχῇ τῆς κοσμοποιΐας
ἀκραιφνεῖς οὖσαι ἰσχυροτάτην εἶχον τὴν ἐνέργειαν.
ἦν οὖν καὶ ἀπόγευσις τινὸς καρποῦ γνῶσιν ἐμποιοῦσα
τῆς οἰκείας φύσεως. οὐκ ἠβούλετο δὲ αὐτὸν ὁ Θεὸς
πρὸ τῆς τελειώσεως γνῶναι τὴν οἰκείαν φύσιν, ἵνα μὴ
γνοὺς ἑαυτὸν ἐνδεὰ πολλῶν ὄντα, τῆς σωματικὴς
ἐπιμεληθῇ χρείας καταλιπὼν τὴν τῆς ψυχῆς πρό-
νοιαν. καὶ διὰ ταύτην τὴν αἰτίαν ἐκώλυσεν αὐτὸν
μεταλαμβάνειν τοῦ καρποῦ τῆς γνώσεως. παρακού-
σας δὲ καὶ γνοὺς ἑαυτὸν, τῆς μὲν τελειώσεως ἐξέπεσε,
τῆς δὲ σωματικῆς χρείας ἐγένετο. σκέπασμα γοῦν εὐ-
θέως ἐπεζήτει. φησὶ γὰρ ὁ Μωϋσῆς ὅτι γυμνὸς ὢν
ἔγνω. πρότερον δὲ ἐν ἐκστάσει αὐτὸν ἐποίησε καὶ ἐν
ἀγνωσίᾳ ἑαυτοῦ. ἐκπεσὼν οὖν τῆς τελειώσεως, ἐξέ-
πεσεν ὁμοίως καὶ τῆς ἀθανασίας ἣν ὕστερον ἀναλήψε-
ται χάριτι τοῦ ποιήσαντος αὐτόν. μετὰ δὲ τὴν ἔκ-
πτωσιν καὶ ἡ τῶν κρεῶν ἀπόλαυσις αὐτῷ συνεχω-
ρήθη. πρότερον μὲν γὰρ τοῖς ἀπὸ γῆς μόνοις ἐκέλευ-
σεν αὐτὸν ἀρκεῖσθαι. ταῦτα γὰρ ἦν ἐν τῷ παραδεί-
σῳ. ἀπεγνωσμένης δὲ τῆς τελειώσεως τῇ συγκατα-
βάσει

βάσει λοιπὸν συνεχωρήθη τὰ τῆς ἀπολαύσεως. ἐπεὶ
δὴ δὲ ἐκ σώματος ἐστιν ὁ ἄνθρωπος. πᾶν δὲ σῶμα
ἐκ τῶν τεσσαρῶν στοιχείων συνέστηκεν, ἀνάγκη τού-
τοις τοῖς πάθεσιν περιπίπτειν αὐτὸν οἷς καὶ τὰ στοι-
χεῖα, τομῇ καὶ μεταβολῇ καὶ ῥεύσει ἅπερ ἐστὶ μόνου τοῦ
σώματος. μεταβολῇ μὲν τῇ κατὰ ποιότητα· ῥεύσει δὲ
τῇ κατὰ κένωσιν. κενοῦται γὰρ ἀεὶ τὸ ζῶον διάτε τῶν
προδήλων πόρων καὶ διὰ τῶν ἀδήλων· περὶ ὧν ὕστε-
ρον ἐροῦμεν. ἀνάγκη τοίνυν ἢ τοῖς κενουμένοις ἀντεισ-
φέρεσθαι τὰ ἴσα ἢ διαλύεσθαι τὸ ζῶον ἐνδείᾳ τῶν ἐπεισι-
όντων. ξηρῶν δὲ ὄντων καὶ ὑγρῶν καὶ πνεύματος τῶν
κενουμένων, ἀνάγκη καὶ ξηρᾶς καὶ ὑγρᾶς προσδεῖσθαι
τροφῆς τὸ ζῶον καὶ πνεύματος. ἔστι δὲ ἡμῖν ἡ τροφὴ καὶ
τὸ ποτὸν διὰ τῶν στοιχείων ἐξ ὧν καὶ συνέστημεν. ἕκα-
στον γὰρ τῷ μὲν οἰκείῳ καὶ ὁμοίῳ τρέφεται. τῷ δὲ ἐναν-
τίῳ θεραπεύεται. τῶν δὲ στοιχείων τὰ μὲν προσε-
χῶς τε ἅμα, τὰ δὲ καὶ διὰ μέσων τινῶν προσφερό-
μεθα. ὡς ὕδωρ ποτὲ μὲν καθ' ἑαυτὸ, ποτὲ δὲ καὶ διὰ
μέσου τῶν οἴνου καὶ τοῦ ἐλαίου καὶ πάντων τῶν καλουμένων
ὑγρῶν καρπῶν. οὐδὲν γὰρ ἕτερον ἐστιν οἶκος ἢ ὕδωρ
* ἐξ ἀμπέλου πεποιωμένον· ὁμοίως δὲ καὶ πυρὸς με-
ταλαμβάνομεν, ποτὲ μὲν προσεχῶς ὑπ' αὐτῶν θαλ-
πόμενοι, ποτὲ δὲ διὰ μέσων ὧν ἐσθίομεν ἢ πίνο-
μεν. ἐν πᾶσι γὰρ ἢ πλείων ἢ ἐλάττων μοῖρα τοῦ πυ-
ρὸς ἐγκατέσπαρται. τὸν αὐτὸν τρόπον καὶ τοῦ ἀέρος·
προσεχῶς μὲν ἀναπνέοντες καὶ περικεχυμένον
ἡμῖν ἔχοντες, καὶ ἐν τῷ ἐσθίειν καὶ πίνειν ἕλκοντες.

ὑπ' ἀμπέλου.

διὰ μέσων δὲ τῶν ἄλλων πάντων ὧν προσφερόμεθα. τὴν δὲ γῆν προσεχῶς μὲν ἡμεῖς οὐδαμῶς. διὰ μέσων δὲ τινῶν· γῆ μὲν γὰρ σῖτος γίνεται. σῖτον δὲ ἡμεῖς ἐσθίομεν. κόρυδοι μὲν γὰρ καὶ περιστεραὶ πολλάκις καὶ πέρδικες τὴν γῆν σιτοῦνται. ἄνθρωπος δὲ διὰ μέσων τῶν σπερμάτων καὶ τῶν ἀκροδρύων καὶ τῶν σαρκῶν. ἐπειδὴ δὲ οὐ μόνον δι' εὐπρέπειαν, ἀλλὰ καὶ δι' εὐαισθησίαν τὴν κατὰ τὴν ἁφὴν, ᾗ μάλιστα πλεονεκτεῖ πάντα τὰ ζῶα ὁ ἄνθρωπος, οὐ περιέθηκεν ἡμῖν οὔτε δέρμα παχὺ ὡς τοῖς βουσὶ καὶ τοῖς ἄλλοις τοῖς παχυδέρμοις, οὔτε τρίχας μεγάλας καὶ πυκνὰς ὡς ταῖς αἰξὶ καὶ τοῖς προβάτοις καὶ λαγωοῖς, οὔτε φολίδας ὡς τοῖς ὄφεσι καὶ τοῖς ἰχθύσιν, οὔτε ὄστρακα ὡς ταῖς χελώναις καὶ τοῖς ὀστρέοις, οὔτε ἁπαλόστρακα ὡς τοῖς καράβοις, οὔτε πτέρυγας ὡς τοῖς ὀρνέοις, ἀναγκαίως ἐσθῆτος ἐδεήθημεν, τῆς ἀναπληρούσης ἐν ἡμῖν ὅπερ ἡ φύσις τοῖς ἄλλοις ἐδωρήσατο. διὰ ταῦτα μὲν οὖν τροφῆς καὶ ἐσθῆτος δεόμεθα. οἰκήσεως δὲ καὶ διὰ ταῦτα μὲν, δι' ἃ καὶ ἐσθῆτος καὶ τροφῆς ἐδεήθημεν, οὐχ ἥκιστα δὲ καὶ διὰ τὰς τῶν θηρίων ἀποφυγάς· διὰ δὲ τὰς δυσκρασίας τῶν ποιοτήτων καὶ τὴν λύσιν τῆς συνεχείας τοῦ σώματος, ἰατρῶν καὶ θεραπείας ἐν χρείᾳ κατέστημεν· τῆς δὲ μεταβολῆς κατὰ ποιότητα γινομένης, ἀνάγκη διὰ τῆς ἀντικειμένης ποιότητος εἰς τὸ σύμμετρον ἀγαγεῖν τὴν κατάστασιν τοῦ σώματος. οὐ γὰρ ὡς οἴονταί τινες τὸ θερμανθὲν σῶμα καταψύξαι πρόκειται τοῖς ἰατροῖς, ἀλλ' εἰς τὸ εὔκρατον μεταστῆσαι. εἰ γὰρ κατα-

καταψύξειαν, εἰς τὴν ἐναντίαν περιΐσταται νόσον ἡ διάθεσις. χρεία τοίνυν ἀνθρώπῳ τροφῆς μὲν καὶ ποτοῦ διὰ τὰς κενώσεις, καὶ διαφορήσεις· ἐσθῆτος δὲ διὰ τὸ μηδεμίαν ἔχειν ἐκ φύσεως ἰσχυρὰν περιβολήν. οἴκου δὲ διάτε τὰς δυσκρασίας τοῦ περιέχοντος καὶ διὰ τὰ θηρία· θεραπείας δὲ διὰ τὰς μεταβολὰς τῶν ποιοτήτων, καὶ τὴν αἴσθησιν τὴν ἐνδοθεῖσαν τῷ σώματι. εἰ γὰρ μὴ προσῆν ἡμῖν ἡ αἴσθησις, οὔτ' ἂν ἠλγοῦμεν, οὔτ' ἂν θεραπείας ἐδεήθημεν· μὴ ἀλγοῦντες δὲ διεφθάρημεν ἄν, ἐν ἀγνωσίᾳ τοῦ κακοῦ τὸ πάθος οὐκ ἰώμενοι. διὰ δὲ τὰς τέχνας καὶ τὰς ἐπιστήμας καὶ τὰς ἀπὸ τούτων χρείας, ἀλλήλων δεόμεθα. διὰ δὲ τὸ δεῖσθαι ἀλλήλων, εἰς ταυτὸ πολλοὶ συνελθόντες κοινωνοῦμεν ἀλλήλοις κατὰ τὰς * τῶν βίου χρείας ἐν τοῖς συναλλάγμασιν. ἥντινα σύνοδον καὶ συνοικίαν πόλιν * ὠνομάσαμεν. ἵνα ἐγγύθεν καὶ μὴ πόρρωθεν τὰς ὠφελείας καρπώμεθα· φύσει γὰρ συναγελαστικὸν καὶ πολιτικὸν ζῶον γέγονεν ὁ ἄνθρωπος. εἰς γὰρ οὐδεὶς αὐτάρκης ἑαυτῷ πρὸς ἅπαντα. δῆλον οὖν ὡς αἱ πόλεις διὰ τὰ συναλλάγματα καὶ τὰ μαθήματα συνέστησαν. δύο δὲ τούτων πρεσβείων ὁ ἄνθρωπος * ἐξαιρέτως ἔτυχε. καὶ γὰρ μόνος οὗτος συγγνώμης τυγχάνει μετανοῶν, καὶ τὸ σῶμα τούτου μόνου θνητὸν ὂν ἀπαθανατίζεται· καὶ τοῦ μὲν σωματικοῦ διὰ τὴν ψυχὴν, τοῦ δὲ ψυχικοῦ διὰ τὸ σῶμα. μόνος γὰρ ὁ ἄνθρωπος τῶν λογικῶν ἐξαίρετον ἔσχε τὸ συγγνώμης ἐν τῷ μετανοεῖν ἀξιοῦσθαι. οὔτε γὰρ δαίμονες

* ἐν τῷ βίῳ.
* ὠνόμασαν.
* ἐξαιρέτων.

*μετανοοῦντες.

οὔτε ἄγγελοι * μετανοήσαντες συγγνώμης ἀξιοῦν τ̄ᾶ·
καὶ ἐν τούτῳ μάλιστα καὶ δίκαιος καὶ ἐλεήμων ὁ Θεὸς
δείκνυταί τε καὶ λέγεται. τοῖς μὲν γὰρ ἀγγέλοις μη-
δὲν ἔχουσιν ἐπανάγκασμα περιέλκον εἰς ἁμαρ-
τίαν, ἀλλ' ἐλευθέροις οὖσιν ἐκ φύσεως τῶν σωματι-
κῶν παθῶν τε καὶ χρειῶν καὶ ἡδονῶν, εἰκότως οὐδεμία
δίδοται συγγνώμη μετανοοῦσιν· ὁ δὲ ἄνθρωπος οὐ
μόνον ἐστὶ λογικὸν, ἀλλὰ καὶ ζῶον. αἱ δὲ χρείαι τῶν ζώου
καὶ τὰ πάθη πολλάκις περιέλκουσι τὸν λογισμόν.
ὅταν οὖν ἀνανήψας ἀποφύγῃ μὲν ταῦτα, χωρήσῃ δὲ
ἐπὶ τὰς ἀρετὰς ἐλεοὺς δικαίου τυγχάνει τῆς συγγνώ-
μης. καὶ ὥσπερ ἴδιον ἐστὶ τῆς οὐσίας αὐτοῦ τὸ γελαστι-
κὸν, ἐπειδὴ καὶ μόνῳ τούτῳ πρόσεστι καὶ παντὶ καὶ
ἀεὶ, οὕτως ἐν τοῖς κατὰ χάριν ἴδιον ἀνθρώπου παρὰ
πᾶσαν τὴν λογικὴν κτίσιν, τὸ διὰ τῆς μετανοίας
ἀπολύεσθαι τῶν προημαρτημένων τῆς αἰτίας καὶ γὰρ
μόνῳ ἀνθρώπῳ τοῦτο δεδώρηται, καὶ παντὶ, καὶ ἀεὶ
παρὰ τὸν καιρὸν τῆς ἐγκοσμίου ζωῆς, μετὰ δὲ θά-
νατον οὐκέτι. οὕτω δέ τινες καὶ τοὺς ἀγγέλους βούλονται
μηκέτι μετὰ τὴν ἐκπτωσιν τυγχάνειν τῆς ἐκ μετα-
νοίας συγγνώμης. θάνατος γὰρ τούτων ἡ ἐκπτωσις·
πρὸ δὲ τῆς ἐκπτώσεως καθ' ὁμοιότητα τῆς ζωῆς
τῶν ἀνθρώπων καὶ αὐτοὺς ἀξιοῦσθαι συγγνώμης. ὅπερ
μὴ ποιήσαντες ἀσύγγνωστον καὶ διαιωνίζουσαν ἔχουσι
τὸ λοιπὸν τῆς τιμωρίας τὴν προσήκουσαν δίκην. δῆ-
λον οὖν ἐκ τούτων ὡς οἱ τὴν μετάνοιαν οὐ δεχόμενοι
τὴν ἐξαίρετον δωρεὰν καὶ τὴν ἰδίαν ἀνθρώπου περι-

γράφου-

γράφουσιν. ἴδιον δὲ αὐτοῦ καὶ ἐξαίρετον καὶ μόνον τῶν
ἄλλων ζώων τὸ τούτου σῶμα μετὰ θάνατον ἀνίστα-
σθαι καὶ εἰς ἀθανασίαν χωρεῖν· τυγχάνει δὲ τούτου
διὰ τὴν τῆς ψυχῆς ἀθανασίαν. ὥσπερ ἐκείνου διὰ τὴν
τῆς σώματος ἀσθένειάν τε καὶ πολυπάθειαν· ἴδια δὲ
αὐτοῦ καὶ τὰ τῶν τεχνῶν τε καὶ ἐπιστημῶν μαθήμα-
τα, καὶ αἱ κατὰ τὰς τέχνας ταύτας ἐνέργειαι. δι' ὃ καὶ
τὸν ἄνθρωπον ὁρίζονται ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ
ἐπιστήμης δεκτικόν· ζῶον μὲν ὅτι καὶ ὁ ἄνθρωπος οὐ-
σία ἐστὶν ἔμψυχος αἰσθητική. οὗτος γὰρ ὅρος ζώου. λο-
γικὸν δὲ ἵνα χωρισθῇ τῶν ἀλόγων· καὶ θνητὸν ἵνα χω-
ρισθῇ τῶν ἀθανάτων λογικῶν. τὸ δὲ νοῦ καὶ ἐπιστή-
μης δεκτικὸν, ὅτι διὰ μαθήσεως προσγίνονται ἡμῖν
αἱ τέχναι καὶ αἱ ἐπιστήμαι, ἔχουσι μὲν δύναμιν δεκτι-
κὴν καὶ τοῦ νοῦ καὶ τῶν τεχνῶν, τὴν δὲ ἐνέργειαν κτω-
μένοις ἐκ τῶν μαθημάτων. λέγουσι δὲ τοῦτο τῷ ὅρῳ
προστεθῆναι ὕστερον. ἐρρῶσθαι μὲν γὰρ καὶ χωρὶς τούτου
τὸν ὅρον. ἀλλ' ἐπειδὴ καὶ νύμφας καὶ ἄλλα τινὰ γένη
δαιμόνων τινὲς εἰσάγουσι πολυχρόνια μὲν, οὐ μὴν
ἀθάνατα, ἵνα καὶ ἀπὸ τούτων διαστείλωσι τὸν ἄνθρω-
πον προσέθηκαν τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν· οὐδὲν
γὰρ ἐκείνων μανθάνει, ἀλλὰ φύσει οἶδεν ἃ οἶδεν·
Εβραίων δὲ δόγμα τὸ πᾶν τοῦτο διὰ τὸν ἄνθρωπον
γεγενῆσθαι. προσεχῶς μὲν δι' αὐτὸν οἷον νωτοφόρα
καὶ βόας τοὺς πρὸς γεωργίαν· χόρτον δὲ διὰ ταῦτα·
τῶν γὰρ γενομένων τὰ μὲν δι' ἑαυτὰ γέγονε, τὰ δὲ
δι' ἄλλα. δι' ἑαυτὰ μὲν τὰ λογικὰ πάντα. δι' ἕτε-

 ρα

ρα δὲ τά τε ἄλογα καὶ τὰ ἄψυχα. εἰ δὲ ταῦτα δι' ἄλλα γέγονε, διὰ ποῖα γέγονε σκοπήσωμεν. ἆρ' οὖν δι' ἀγγέλους; ἀλλ' οὐκ ἄν τις εὖ φρονῶν εἴποι δι' ἀγγέλους αὐτὰ γεγενῆσθαι. τὰ γὰρ δι' ἄλλα γενόμενα πρὸς σύστασιν ἐκείνων καὶ διαμονὴν καὶ ἄνεσιν γέγονεν· ἢ γὰρ τῆς διαδοχῆς τοῦ γένους ἕνεκεν ἢ τροφῆς ἢ σκέπης ἢ θεραπείας ἢ διαγωγῆς καὶ ἀναπαύσεως. ἄγγελος δὲ τούτων οὐδενὸς δεῖται· οὔτε γὰρ διαδοχὴν ἔχει γένους οὔτε τροφῆς ἐνδεής ἐστι σωματικῆς, οὔτε σκέπης, οὔτε τῶν ἄλλων· εἰ δὲ μὴ ἄγγελος, δῆλον ὡς οὐδὲ ἄλλη τὶς φύσις ὑπεραναβεβηκυῖα τῶν ἀγγέλων· ὅσῳ γὰρ ὑπέρκειται, τοσούτῳ μᾶλλον καὶ τὸ ἀνενδεὲς αὐτῇ προσέστι. ζητητέον οὖν φύσιν λογικὴν μὲν, ἐνδεᾶ δὲ τῶν προειρημένων· τίς οὖν ἑτέρα τοιαύτη φανείη παραλιπόντων ἡμῶν τὸν ἄνθρωπον; οὐκ οὖν συνάγεται διὰ τοῦτον τά τε ἄψυχα καὶ τὰ ἄλογα γεγενῆσθαι· ἐπεὶ δὴ τοίνυν δι' αὐτὸν ὡς ἐδείχθη γέγονε, διὰ τοῦτο καὶ ἄρχων αὐτῶν κατέστη. ἄρχοντος δὲ ἔργον πρὸς μέτρον χρείας τοῖς ἀρχομένοις χρῆσθαι, καὶ μὴ πρὸς ἡδυπάθειαν ἀκολάστως ἐξυβρίζειν, μηδὲ φορτικῶς καὶ ἐπαχθῶς προσφέρεσθαι τοῖς ἀρχομένοις. ἁμαρτάνουσι τοίνυν ὅσοι τοῖς ἀλόγοις οὐκ εὖ κέχρηνται· οὐ γὰρ ποιοῦσιν ἄρχοντος ἔργον, οὐδὲ δικαίου. καὶ τὸ γεγραμμένον, δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ. ἀλλ' ἴσως ἐρεῖ τις ὡς οὐδὲν δι' ἄλλο, ἀλλ' ἕκαστον δι' ἑαυτὸ γέγονεν. οὐκ οὖν χωρίσαντες πρῶτον τὰ ἔμψυχα ἀπὸ τῶν ἀψύχων, ἴδωμεν εἰ δύναται τὰ

ἄψυχα

ἄψυχα δι' ἑαυτὰ γεγενῆσθαι. εἰ γὰρ ταῦτα δι' ἑαυτὰ, πῶς ἢ πόθεν τραφήσεται τὰ ζῶα, ὁρῶμεν γὰρ τὴν φύσιν ἐπιχορηγοῦσαν τροφὰς τοῖς ζώοις ἐκ τῆς γῆς καρπῶν τε καὶ φυτῶν, πλὴν ἐλαχίστων τῶν σαρκοφάγων. καὶ αὐτὰ δὲ ταῦτα τὰ σαρκοφάγα τροφὴν ποιεῖται τῶν ζώων τὰ τὴν γῆν νεμόμενα. ὡς λύκοι μὲν καὶ λέοντες ἄρνας καὶ αἶγας καὶ σῦς καὶ ἐλάφους. ἀετοὶ δὲ πέρδικας καὶ φάσσας καὶ λαγωοὺς καὶ τὰ ὅμοια. ἅτινα τοὺς καρποὺς τῆς γῆς νέμεται. καὶ γὰρ τῶν ἰχθύων ἡ φύσις ἀλληλοφάγος οὖσα, οὐ μέχρι πάντων διήκει σαρκοφαγοῦσα, ἀλλὰ κατέληξεν ἐν τοῖς νεμομένοις φύκια καὶ ἄλλα τινὰ ἐν τῷ ὕδατι φυόμενα. εἰ γὰρ ἦν πάντα τὰ γένη τῶν ἰχθύων σαρκοφάγα, καὶ μηδὲν ἦν ἐκφεῦγον τὴν τῆς σαρκὸς σίτησιν, οὐκ ἂν οὐδὲ ἐπ' ὀλίγον ἐπήρκεσεν, ἀλλὰ διεφθάρη, τὰ μὲν ὑπ' ἀλλήλων, τὰ δὲ διὰ τροφῆς ἔνδειαν. ἵνα δὲ μὴ τοῦτο γένηται, τινὲς τῶν ἰχθύων κατεσκευάσθησαν σαρκῶν μὲν ἀπεχόμενοι, τὴν δὲ ὡς ἄν τις εἴποι θαλασσίαν βοτάνην νεμόμενοι· ἵνα ἐκ τούτων καὶ τὰ ἄλλα διασώζηται· γίνεται γὰρ βορὰ μὲν τούτων τὰ φύκια, ἐκεῖνα δὲ τῶν ἄλλων. καὶ πάλιν ταῦτα τῶν ἄλλων ὡς διὰ τὴν τῶν τελευταίων τροφὴν ἀδιαλείπτως ἐκ τοῦ γεώδους τῶν καὶ τῶν θάλασσαν παρεχομένην, καὶ τὴν τῶν ἄλλων ὑπόστασιν σώζεσθαι. ἀπέδειξεν οὖν ὁ λόγος τὴν τῶν φυτῶν γένεσιν μὴ δι' ἑαυτὴν, ἀλλ' εἰς τροφὴν καὶ σύστασιν τῶν ἀνθρώπων καὶ τῶν ἄλλων ζώων γεγενημένην. εἰ δὲ ταῦτα διὰ τὸν ἄνθρωπον καὶ τὰ ζῶα, δῆλον ὡς καὶ

τὰ

τὰ τῆς τούτων αὐξήσεως καὶ γενέσεως αἴτια διὰ ταῦ-
τα γέγονεν. οὐκ οὖν ἀστέρων κινήσεις καὶ οὐρανὸς καὶ ὧραι
καὶ ὄμβροι καὶ πάντα τὰ τοιαῦτα διὰ ταῦτα γέγο-
νεν. ἵνα τῶν τροφῶν ὡς ἐν κύκλῳ διηνεκῶς χορηγου-
μένων, ἀνελλιπῆς καὶ ἡ τῶν προσφερομένων τοὺς καρ
ποὺς διαμείνῃ φύσις· ὡς εὑρίσκεσθαι ταῦτα μὲν διὰ
τοὺς καρποὺς, τοὺς δὲ καρποὺς διὰ τὰ ζῶα καὶ τὸν ἄν
θρωπον· λοιπόν ἐστιν ἐπιδιασκέψασθαι πότερον καὶ
ἡ τῶν ἀλόγων φύσις δι' ἑαυτὴν γέγονεν, ἢ διὰ τὸν
ἄνθρωπον. ἀλλ' ἴσως ἄτοπον τὰ φρονήσεως ἄμοι-
ρα, καὶ καθ' ὁρμὴν φυσικὴν μόνην ζῶντα, καὶ πρὸς γῆν
κάτω κεκυφότα, καὶ τὴν δουλείαν διὰ τοῦ σχήματος
ἐνδεικνύμενα, λέγειν δι' ἑαυτὰ παρῆχθαι· πολλῶν
δὲ ὄντων τῶν ἐνδεχομένων εἰς τοῦτο ῥηθῆναι, καὶ σχεδὸν
ἰδίας συγγραφῆς διὰ τὸ πλῆθος δεομένων, μὴ χω-
ρούσης τῆς προκειμένης ὑποθέσεως τὸ μῆκος τῶν λό
γων, ἐπὶ τὰ σύντομα μὲν, καίρια δὲ καταντῆσαι
προσήκει· εἰ τοίνυν ὡς ἐν εἰκόνι τῷ ἀνθρώπῳ καὶ
τὰ τῶν ἔξωθεν ἐσοπτρισθείημεν, ἐξ αὐτῆς ἂν εἴημεν
δὲ τῶν ζητουμένων οὐσίας, τὰς ἀποδείξεις ποιούμενοι·
ὁρῶμεν οὖν ἐν τῇ καθ' ἡμᾶς ψυχῇ τὴν ἀλογίαν καὶ
τὰ ταύτης μέρη, λέγω δὲ τὴν ὄρεξιν καὶ τὸν θυμὸν
πρὸς ὑπηρεσίαν δεδομένα τῷ λογικῷ· καὶ τὸ μὲν
ἄρχον, τὰ δὲ ἀρχόμενα. καὶ τὸ μὲν κελεῦον, τὰ δὲ
κελευόμενα, καὶ ὑπηρετοῦντα ταῖς χρείαις αἷς ἂν ὁ λό
γος ὑποβάλῃ, ὅταν σώζῃ τὸ κατὰ φύσιν ὁ ἄνθρωπος·
εἰ δὲ τῶν ἐν ἡμῖν ἀλόγων τὸ ἐν ἡμῖν ἄρχει λογικὸν,

πῶς

πῶς οὐκ εἰκὸς καὶ τῶν ἔξωθεν ἀλόγων αὐτὸ κρατεῖν,
καὶ πρὸς τὰς χρείας αὐτῷ δεδόσθαι; ὑπηρετεῖσθαι γὰρ
φύσει τέτακται τὸ ἄλογον τῷ λογικῷ, ὡς ἐν τοῖς
καθ' ἡμᾶς ἐδείχθη. δηλοῖ δὲ τοῦτο καὶ ἡ τῶν πολλῶν
ζώων κατασκευή, πρὸς ὑπηρεσίαν τῶν ἀνθρώπων
ἐπιτήδειος γεομένη. βόες μὲν καὶ πάντα τὰ νωτο-
φόρα πρὸς γεωργίαν καὶ ἀχθοφορίαν. τὰ πολλὰ δὲ
τῶν πτηνῶν καὶ τῶν ἐνύδρων καὶ τῶν χερσαίων πρὸς
ἀπόλαυσιν. τὰ δὲ μιμηλὰ πρὸς τέρψιν καὶ ἄνεσιν·
εἰ δὲ μὴ πάντα ταῖς τοιαύταις χρείαις ὑπηρετεῖται,
ἀλλ' ἔνια καὶ λυμαίνεται τὸν ἄνθρωπον, ἰστέον ὡς προη-
γουμένως τῶν δι' ὑπηρεσίαν γενομένων, καὶ τὰ ἄλλα
πάντα τὰ ἐνδεχόμενα κατεσκευάσται· ἵνα μηδὲν
ἐλλίπῃ τῇ κτίσει τῶν ἐνδεχομένων γενέσθαι. οὐδὲ
ταῦτα δὲ παντάπασιν ἐκπόφευγε τὴν τῶν ἀνθρώ-
πων ὄνησιν. ἀλλὰ καὶ τὰ δηλητηριώδη πρὸς οἰκείαν
ὠφέλειαν ὁ λόγος καρποῦται. κατὰ χρῆται γὰρ αὐ-
τοῖς πρὸς θεραπείαν τῆς ἐξ αὐτῶν ἐκείνων βλά-
βης, καὶ τῆς τῶν ἄλλων ἀρρωστημάτων ἰάσεως· τοιαῦ-
τάι τινες εἰσὶν αἱ θηριακαὶ καλούμεναι κατασκευαί·
ἃς ὁ λόγος ἐπενόησεν ἵνα καὶ τούτων κρατῇ δι' αὐτῶν,
καὶ ὥσπερ ὑπὸ πολεμίων κρατηθέντων ὠφελοῖτο·
ἔχει δὲ μυρίας ὁ ἄνθρωπος ἀντιπαθεῖς τούτων δυν-
άμεις δεδομένας παρὰ τοῦ δημιουργοῦ εἴργειν καὶ ἀμύ-
νεσθαι καὶ διορθοῦσθαι τὰς ἐπιβολὰς αὐτῶν δυναμέ-
νας· ἄλλα μὲν γὰρ ἄλλαις ἁρμόζει χρείαις. κοινῇ δὲ
πάντα πρὸς θεραπείαν ἀνθρώπου συντελεῖν πέ-

 φυκε,

φυκε, ἡ τὰ μὴ τοῖς ἄλλοις χρείαις χρήσιμα. καὶ ταῦτα μὲν ὡς πρὸς τὴν νῦν κατάσασιν τ καθ' ἡμᾶς βίε λεγέσθω. ἐπεὶ τοίνε ἀρχαῖον ὑδὲν τῆς ἀλόγων ζώων ἐτόλμα καταβλάπτειν τὸν ἄνθρωπον, ἀλλ' ἦν αὐτοῖς πάντα δέλα ἢ ὑποτεταγμένα ἐ πειθήνια ἕως ἐκράτει τὸ οἰκείων παθῶν, ἡ τῆς ἀλογίας ἐν αὐτῷ. μὴ κρατῶν δὲ τ οἰκείων παθῶν, ἀλλὰ κρατούμενος ὑπ' αὐτῶν, ἐκρατήθη ἡ παρὰ τ ἔξωθεν θηρίων ἐυλογως. σύνεισῆλθε γὸ τῇ ἁμαρτία ἡ ἡ παρὰ τούτων βλάβη. ὅτι δὲ τοῦτο ὄξιν ἀληθὲς, δῆλον ἐκ τῆς τὸν ἄρισον μετελθόντων βίον. κρείττες γὸ ὤφθησαν ἔτοι τ τῆς θηρίων ὀπιθυλής, ὡς λέοντων μὲν ὁ Δανιὴλ, Παῦλος δὲ τ δήμαζος τ ἐχίδνης. τίς ἓν ἄξιος θαυμάσειε τὴν εὐγένειαν τ τὰ τῷ ζώα τῷ σωθέοντος ἐν ἑαυτῷ, τὰ θηρία τοῖς ἀδυνάτοις, καὶ τὰ λογικὰ τοῖς ἀλόγοις συναπτοντος, τῷ φέρουζος ἐν τῇ καθ' ἑαυτὸν φύσῃ τῆς ὅλης κτίσεως τὴν εἰκόνα, δι' ἃ καὶ μικρὸς κόσμος εἴρηται, τῷ τοσαύτης ἀξιωμένε παρὰ τῷ Θεῷ προνοίας. δι' ὃν πάντα καὶ τὰ νῦν καὶ μέλλοντα. δι' ὃν ὁ Θεὸς ἄνθρωπος γέγονε, τῷ λήγοντος εἰς ἀφθαρσίαν καὶ τὸ θνητὸν ὑμφεύγοντος. ὁ οὐρανῶν βασιλεύει κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεῷ γεγονὸς, χεὶς ὢ σωθιαλῇ, Θεῷ τέκνον ἐςὶ, πάσης ἀρχῆς ἡ ἐξεσίας φρονα-δηται. τίς δ' ἂν ἐξειπεῖν δύναιτο τὰ τοῦτο ζώε πλεονεκτήματα; πελάγη ὑμβαίνει. οὐρανὸν ἐμβατεύει τῇ θεωρίᾳ. ἀςέρων κινήματα καὶ μέτρα

* κατα-

* καταυοεῖ γῆν καρπῶται καὶ θάλασσαν θηρίων πλυ-
ἡ κητῶν καταφρονεῖ πάσαν ὅλης ἡμῶν ἡ μεθοδον πεγμα
κατορθοῖ. ὑπερορίοις δὲ τῆς γραμμάτων ὧν βέλε τοι προσομιλεῖ, μηδὲν ὑπὸ τὸ σώματος ἐμποδι-ζόμενος. προφητεύει τὰ μέλλοντα. πάντων ἄρχει. πάντων κρατεῖ πάντων ἀπολαύει. ἀγγέλοις καὶ Θεῷ ὁμιλεῖ γεται. τῇ κτίσει κελεύει. δαίμοσιν ὑπ-τάττει, τὴν τῆς ὄντων φύσιν ἐρευνᾷ. Θεὸν περιερ-γάζεται. ὄικος καὶ ναὸς γίνεται Θεῦ. καὶ ταῦτα πάντα διὰ τῆς ἀρετῶν ὠνεῖται καὶ τῆς ἐυσεβίας. ἀλλ' ἵνα μὴ δόξωμεν ποιν ἀπειροκάλως ἀνθρω-πον γράφειν ἐγκώμιον, καὶ μὴ μόνον τὴν φύσιν ἐκ-τίθεσθαι καθάπερ προεθέμεθα, ἀυτὸ τοῦτο καθαυ-σωμεν τὸν λόγον. ἐι καὶ τὰ μάλιστα τ φύσεως πλεο-νεκτήματα λέγοντες τὴν φύσιν αὐτὴν διηγέμεθα. εἰδότες ὧν ὅσης εὐχῆς μετειληφαμεν, καὶ ὅτι φυ-τὸν ἐσμὲν ὑράνιον, μὴ καταισχύνωμεν τὴν φύσιν, μηδὲ * τ τοιούτων δωρεῶν ἀποφανθῶμεν ἀναξιοι, πολίται, μηδὲ ἑαυτὲς τοσαύτης ἐξεσίας καὶ δόξης καὶ μακα-ριότητος ἀποστερήσωμεν. ὀλίγε καιρῷ καὶ βραχείας ἡδονῆς πάντων τῆς αἰωνίων καὶ ἀϊδίων προδόντες ἀπό-λαυσιν. ἀλλὰ διὰ τῶν καλῶν ἔργων καὶ τ ἀπαχθῆς τ φαύλων καὶ τὸ ὀρθὸ σπουδῶ μάλιστα τὸ Θεῖον συνεργεῖν εἰωθεν, καὶ διὰ τῆς εὐχῶν τὴν εὐγένειαν διασώσωμεν. περὶ μὲν δὴ τούτων, ἱκανὰ ταῦτα. ἐπεὶ δὲ τὸν ἄνθρωπον ἐκ ψυχῆς εἶναι καὶ σώματος ὁ κοινὸς ὑποβάλλει λόγος, φέρε διελόντες πρότε-

εσν

ρον περὶ ψυχῆς διαλάβωμεν, τὰ λίαν λεπτὰ καὶ περισκελῆ καὶ τοῖς πολλοῖς δυσκατανόητα τῶν ζητουμένων παραλιπόντες.

ΠΕΡΙ ΨΥΧΗΣ ΚΕΦ. Β.

ΔΙΑΦΩΝΕΙΤΑΙ σχεδὸν ἅπασι τοῖς παλαιοῖς ὁ περὶ τῆς ψυχῆς λόγος. Δημόκριτος μὲν γὰρ καὶ Ἐπίκουρος, καὶ πᾶν τὸ τῶν στωϊκῶν φιλοσόφων σύστημα, σῶμα τὴν ψυχὴν ἀποφαίνονται. καὶ αὐτοὶ δὲ οὗτοι οἱ σῶμα τὴν ψυχὴν ἀποφαινόμενοι, διαφέρονται περὶ τῆς οὐσίας αὐτῆς. οἱ μὲν γὰρ στωϊκοὶ πνεῦμα λέγουσιν αὐτὴν ἔνθερμον καὶ διάπυρον· Κριτίας δὲ αἷμα. Ἱππων δὲ ὁ φιλόσοφος ὕδωρ· Δημόκριτος δὲ πῦρ. τὰ γὰρ σφαιροειδῆ σχήματα τῶν ἀτόμων συγκρινόμενα πῦρ τε καὶ ψυχὴν ἀποτελεῖν, Ἡράκλειτος δὲ τὴν μὲν τοῦ παντὸς ψυχὴν, ἀναθυμίασιν ἐκ τῶν ὑγρῶν. τὴν δὲ ἐν τοῖς ζώοις ἀπό τε τῆς ἐκτὸς καὶ τῆς ἐν αὐτοῖς ἀναθυμιάσεως ὁμογενῆ πεφυκέναι· πάλιν δὲ καὶ τῶν λεγόντων ἀσώματον εἶναι τὴν ψυχὴν ἄπειρος γέγονεν ἡ διαφωνία. τῶν μὲν οὐσίαν αὐτὴν καὶ ἀθάνατον λεγόντων, τῶν δὲ ἀσώματον μὲν, οὐ μὴν οὐσίαν, οὐδὲ ἀθάνατον. Θαλῆς μὲν γὰρ πρῶτος τὴν ψυχὴν ἔφησεν ἀεικίνητον καὶ αὐτοκίνητον· Πυθαγόρας δὲ ἀριθμὸν κινοῦντα ἑαυτὸν. Πλάτων δὲ οὐσίαν νοητὴν ἐξ ἑαυτῆς κινητὴν, καὶ ἀριθμὸν ἐναρμόνιον· Ἀριστοτέλης δὲ ἐντελέχειαν πρώτην σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος. Δείναρχος δὲ ἁρμονίαν τῶν τεσσάρων στοιχείων. οὐ γὰρ τὴν ἐκ τῶν φθόγγων

φθόγγων συνισταμένην, ἀλλὰ τὴν ἐν τῷ σώματι θερμῶν καὶ ὑγρῶν καὶ ψυχρῶν καὶ ξηρῶν ἐναρμόνιον κρᾶσιν καὶ συμφωνίαν βούλεται λέγειν. δῆλον δὲ ὅτι καὶ τούτων οἱ μὲν ἄλλοι τὴν ψυχὴν εἶναι λέγουσιν οὐσίαν· Ἀριστοτέλης δὲ καὶ Δείναρχος ἀνούσιον· ἔτι δὲ πρὸς τούτοις οἱ μὲν μίαν εἶναι καὶ τὴν αὐτὴν τῶν πάντων ψυχὴν νενομίκασι κατακερματιζομένην εἰς τὰ καθ' ἕκαστα καὶ πάλιν εἰς ἑαυτὴν συνιοῦσαν ὡς οἱ μανιχαῖοι καὶ ἄλλοι τινές. οἱ δὲ πολλὰς καὶ διαφόρους κατ' εἶδος· οἱ δὲ μίαν καὶ πολλάς. πᾶσα τοίνυν ἀνάγκη μηκῦναι τὸν λόγον τοσαύταις δόξαις ἀντιλέγοντας. κοινῇ μὲν οὖν πρὸς πάντας τοὺς λέγοντας σῶμα τὴν ψυχὴν, ἀρκέσει τὰ παρὰ ἀμμωνίου τοῦ διδασκάλου Πλωτίνου καὶ Νουμηνίου τοῦ πυθαγορικοῦ εἰρημένα, εἰσὶ δὲ ταῦτα τὰ σώματα τῇ οἰκείᾳ φύσει τρεπτὰ ὄντα καὶ σκεδαστὰ * διόλου, καὶ εἰς ἄπειρον τμητὰ ἐν αὐτοῖς μηδενὸς ἀμεταβλήτου ὑπολειπομένου, δεῖται τοῦ * συνέχοντος καὶ συνάγοντος καὶ ὥσπερ συσφίγγοντος καὶ συγκρατοῦντος αὐτὰ, ὅπερ ψυχὴν λέγομεν. εἰ τοίνυν σῶμα ἐστὶν ἡ ψυχὴ οἱονδήποτε εἰ καὶ λεπτομερέστατον, τί πάλιν ἐστὶ τὸ συνέχον ἐκείνην; ἐδείχθη γὰρ πᾶν σῶμα δεῖσθαι τοῦ συνέχοντος. καὶ οὕτως εἰς ἄπειρον, ἕως ἂν καταντήσωμεν εἰς ἀσώματον. εἰ δὲ λέγοιεν καθάπερ οἱ στωϊκοὶ τονικήν τινα εἶναι κίνησιν περὶ τὰ σώματα εἰς τὸ * ἔισω ἅμα κινουμένην καὶ εἰς τὸ ἔξω. καὶ τὴν μὲν εἰς τὸ ἔξω μεγεθῶν καὶ ποιοτήτων ἀποτελεστικὴν εἶναι.

* καὶ διόλου εἰς ἄπειρον.

συνεσθέντος.

* ἔσω σῶμα.

τὴν

τὴν δὲ εἰς τὸ εἶσω ἐνώσεως καὶ οὐσίας, ἐρωτητέον αὐτοὺς, ἐπειδὴ πᾶσα κίνησις ἀπό τινός ἐστι δυνάμεως τίς ἡ δύναμις αὕτη καὶ τίνι ὑσίωται, εἰ μὲν οὖν καὶ ἡ δύναμις αὕτη ὕλη τίς ἐστι ζῶς αὐτοῖς πάλιν χρησόμθα λόγοις. εἰ δὲ οὐχ ὕλη ἀλλ' ἔνυλον, ἕτερον δέ ἐστι τὸ ἔνυλον παρὰ τὴν ὕλην. τὸ γὰρ μετέχον ὕλης ἔνυλον λέγεται, τί ποτε ἄρα ἐστὶ τὸ μετέχον τῆς ὕλης πότερον ὕλη καὶ αὐτὸ ἢ ἄὔλον. εἰ μὲν οὖν ὕλη πῶς ἔνυλον καὶ οὐχ ὕλη; εἰ δὲ οὐχ ὕλη ἄὔλον ἄρα. εἰ δὲ ἄὔλον, ἀσώματον. πᾶν γὰρ σῶμα ἔνυλον. εἰ δὲ λέγοιεν ὅτι τὰ σώματα τριχῆ διαστατά ἐστι καὶ ἡ ψυχὴ δὲ ὅλου διήκουσα τὸ σώματος ζιχῆ διαστατή ἐστι. καὶ διὰ τοῦτο πάντως καὶ σῶμα, ἐροῦμεν, ὅτι πᾶν μὲν σῶμα τριχῆ διαστατὸν, οὐ πᾶν δὲ τὸ ζιχῆ διαστατὸν σῶμα. καὶ γὰρ ὁ τόπος καὶ τὸ ποιὸν ἀσώματα ὄντα καθ' ἑαυτὰ καὶ συμβεβηκὸς ἐν ὄγκῳ ποσοῦται. οὕτως οὖν καὶ τῇ ψυχῇ καθ' ἑαυτὴν μὲν πρόσεστι τὸ ἀδιάστατον. καὶ συμβεβηκὸς δὲ τῷ ἐν ᾧ ἐστι ζιχῆ διαστατῷ ὄντι σωθεωρεῖται καὶ αὐτὴ τριχῆ διαστατή. ἔτι πᾶν σῶμα ἢ ἔξωθεν κινεῖται ἢ ἔνδοθεν. ἀλλ' εἰ μὲν ἔξωθεν, ἄψυχον ἔσται. εἰ δὲ ἔνδοθεν, ἔμψυχον. εἰ δὲ σῶμα, ἡ ψυχὴ εἰ μὲν ἔξωθεν κινοῖτο ἄψυχός ἐστιν· εἰ δὲ ἔνδοθεν, ἔμψυχος. ἄτοπον δὲ καὶ τὸ, ἔμψυχον καὶ τὸ, ἄψυχον λέγειν τὴν ψυχὴν. οὐκ ἄρα σῶμα ἡ ψυχὴ. ἔτι ἡ ψυχὴ εἰ μὲν ζέφεται ὑπὸ ἀσωμάτου τρέφεται. τὰ γὰρ μαθήματα τρέφει αὐτὴν. οὐδὲν δὲ σῶμα ὑπὸ ἀσωμάτου τρέφεται.

φεται. οὐκ ἄρα σῶμα ἡ ψυχὴ. Ξενοκράτης οὕτω σωπήσῃ. εἰ δὲ μὴ τρέφει; πᾶν δὲ σῶμα ζωὴ τρέφεται, οὐ σῶμα ἡ ψυχή. καὶ ταῦτα μὲν κοινῇ πρὸς πάντας τοὺς λέγοντας σῶμα εἶναι τὴν ψυχήν. ἰδία δὲ πρὸς τοὺς δοξάζοντας αἷμα ἢ πνεῦμα εἶναι τὴν ψυχήν, ἐπειδὴ τὸ πνεύματος ἢ τὸ αἵματος χωριζομένου νεκροῦται τὸ ζῶον, οὐκ ἐκεῖνο ῥητέον ὅπερ τινὲς τῶν ὀιομένων εἶναί τι γεγραφήκασι λέγοντες. οὐκ ἔστιν ὅταν μέρος ἀπορρυῇ τοῦ σώματος, μέρος ἀπερρύη καὶ ψυχῆς. κουφολογία γὰρ τὸ τοιοῦτον. ἐπεὶ γὰρ τῶν ὁμοιομερῶν ἐστι τὸ ὑπολειπόμενον μέρος ταυτόν ἐστι τῷ παντί. ὕδωρ γοῦν καὶ τὸ πολὺ καὶ τὸ βραχύτατον. ὁμοίως ἐστὶ ἄργυρος καὶ χρυσὸς καὶ πάντα ὧν τὰ μέρη οὐ διαλάττει ἀλλήλων κατ' οὐσίαν. οὕτως οὖν καὶ τὸ ὑπολειπόμενον αἷμα ὅσον ἂν ᾖ ψυχή ἐστιν, εἴπερ ψυχὴ τὸ αἷμα, ἐκεῖνο οὖν μᾶλλον λεκτέον, ὅτι εἰ τοῦτό ἐστι ψυχὴ ἐκ ἐξαιρεμένου θνήσει τὸ ζῶον, πάντως καὶ τὸ φλέγμα ψυχή ἐστι καὶ αἱ χολαὶ ἀμφότεραι. ὁ ποῖον γὰρ ἂν τούτων ἐκλείπῃ τέλος ἐπάγει τῷ ζώῳ. ἔτι δὲ καὶ τὸ ἥπαρ καὶ ὁ ἐγκέφαλος ἢ ἡ καρδία καὶ ὁ στόμαχος καὶ οἱ νεφροὶ καὶ τὰ ἐντερα καὶ ἄλλα πολλά. τίνος γὰρ τούτων ἐξαιρεθέντος οὐ τεθνήξεται τὸ ζῶον; ἄλλως τε πολλά ἐστιν ἄναιμα μὲν, ἔμψυχα δὲ ὡς τὰ σελάχη καὶ μαλάκια οἷον σηπίαι καὶ τευθίδες καὶ σμύροι, καὶ πάντα τὰ ὀστρακόδερμα καὶ ἁπαλόστρακα ὡς οἱ κάραβοι καὶ οἱ καρκίνοι καὶ ἀσκοί. εἰ τοίνυν ἐστὶν ἔμψυχα μὲν τῇ ζωῇ.

μὲν

μὲν ἄναιμα δὲ, δῆλον ὡς οὐκ ἔστιν αἷμα ἡ ψυχὴ. πρὸς δὲ τοὺς λέγοντας ὕδωρ εἶναι τὴν ψυχὴν ὅτι τὸ ὕδωρ ζωογονοῦν φαίνεται πάντα καὶ χωρὶς ὕδατος βιοτεύειν ἀδύνατον, πολλὰ τὰ ἀντιπίπτοντα. οὐ δὲ γὰρ τροφῆς χωρὶς, οἰόντε ζῆν. ψυχὴν ἄρα καὶ τὰς τροφὰς πάσας καθ' ἑκάστην ῥητέον κατ' αὐτούς. ἔπει τὰ πολλὰ τῶν ζώων ἐστὶ μὴ πίνοντα ὡς ἐπίτινων ἀετῶν ἱστόρηται. καὶ πέρδιξ δὲ δύναται ζῆν χωρὶς τοῦ πίνειν. διατί δὲ μᾶλλον τὸ ὕδωρ ψυχὴ καὶ οὐχ' ὁ ἀήρ; ὕδατος μὲν γὰρ καὶ ἐπὶ πολὺ δυνατὸν ἀποχέσθαι, τοῦ δὲ ἀναπνεῖν τὸν ἀέρα οὐ δὲ τὸ βραχύτατον. ἀλλ' οὐ δὲ ὁ ἀὴρ ψυχὴ. πολλὰ γὰρ ἐστι ζῶντα μὲν μὴ ἀναπνέοντα δὲ τὸν ἀέρα, ὡς τὰ ἔντομα πάντα. ὅιον μέλιττα καὶ σφῆκες καὶ μύρμηκες καὶ τὰ ἄναιμα, καὶ τῶν θαλασσίων τὰ πολλὰ. καὶ πανθ' ὅσα οὐκ ἔχει πνεύμονα. οὐδὲν γὰρ μὴ ἔχον πνεύμονα ἀναπνεῖ τὸν ἀέρα, καὶ ἀντιστρέφει, οὐδὲν μὴ ἀναπνέον τὸν ἀέρα πνεύμονα ἔχει. ἐπειδὴ δὲ καὶ Κλεάνθους τῶν στωϊκοῦ καὶ Χρυσίππου φέρονται λόγοι τινὲς οὐκ εὐκαταφρόνητοι: ἐκθετέον καὶ τούτων τὰς λύσεις ὡς ἐπέλυσαν οἱ ἀπὸ Πλάτωνος. ὁ Κλεάνθης τοιόνδε πλέκει συλλογισμὸν. οὐ μόνον φησὶν ὅμοιοι τοῖς γονεῦσι γινόμεθα κατὰ τὸ σῶμα, ἀλλὰ καὶ κατὰ τὴν ψυχὴν, τοῖς πάθεσι, τοῖς ἤθεσι, ταῖς διαθέσεσι. σώματος δὲ τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον. οὐχὶ δὲ ἀσωμάτου. σῶμα ἄρα ἡ ψυχὴ ἀλλὰ πρῶτον μὲν ἐκ τῶν ἐπὶ μέρους τὰ καθόλου * οὐ συγκατασκευάζεται.

* συγκατασκευάζεται.

ται. πρὸς τούτῳ δὲ καὶ τὸ οὐχὶ δὲ ἀσωμάτου σῶμα ἄρα ἡ ψυχὴ. ἀλλὰ πρῶτον μὲν ἐκ τῶν ἐπὶ μέρους τὰ καθόλου συγκατασκευάζεται. πρὸς τούτῳ δὲ καὶ τὸ οὐχὶ δὲ ἀσωμάτου ψεῦδος ἐστί. λέγομεν γὰρ ἀριθμοὺς ὁμοίους εἶναι, ὧν αἱ πλευραὶ ἀνάλογοι εἰσὶν ὡς τὸν ἓξ καὶ τὸν εἰκοσιτέσσαρα. πλευραὶ γὰρ τοῦ ἓξ καὶ ὁ δύο καὶ ὁ τρεῖς· τοῦ καὶ εἰκοσιτέσσαρα ὁ τέσσαρα καὶ ὁ ἓξ. ἀναλογίαν δὲ ἔχει τὰ μὲν δύο πρὸς τὰ τέσσαρα, τὰ δὲ τρία πρὸς τὰ ἓξ. ἐνδιπλασίονι γὰρ λόγῳ θεωρεῖται. τὰ γὰρ τέσσαρα τῶν δύο διπλασίονα καὶ τὰ ἓξ τῶν τριῶν. ἀσώματοι δὲ οἱ ἀριθμοὶ. καὶ σχήματα δὲ σχήμασιν ὅμοια ἐστὶν, ὅσα τάστε γωνίας ἴσας ἔχει· καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον. τὸ δὲ σχῆμα καὶ αὐτοὶ ἀσώματον ὁμολογοῦσιν εἶναι. ἔτι ὡς τοῦ ποσοῦ ἰδίον ἐστὶ τὸ ἴσον καὶ ἄνισον, οὕτω καὶ τοῦ ποιοῦ τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον. ἀσώματον δὲ ἡ ποιότης. ἔστιν ἄρα καὶ ἀσώματον ἀσωμάτῳ ὅμοιον. ἔτι φησὶν· οὐδὲν ἀσώματον συμπάσχει σώματι· οὐδὲ ἀσωμάτῳ σῶμα, ἀλλὰ σῶμα σώματι· συμπάσχει δὲ ἡ ψυχὴ τῷ σώματι νοσοῦντι καὶ τεμνομένῳ καὶ τὸ σῶμα τῇ ψυχῇ· αἰσχυνομένης γοῦν ἐρυθρὸν γίνεται καὶ φοβουμένης ωχρόν. σῶμα ἄρα ἡ ψυχὴ. ἔστι δὲ τὸ ἕτερον τῶν λημμάτων ψεῦδος κατὰ πρόσληψιν κείμενον, τὸ λέγον· οὐδὲν ἀσώματον σώματι συμπάσχει. τί γὰρ εἰ μόνη τῇ ψυχῇ τοῦτο πρόσεστιν; ὥσπερ τις εἰ λέγοι οὐδὲν ζῶον τὴν ἄνω γένυν κινεῖ· ὁ δὲ κροκόδειλος τὴν

ἄνω γένυν κινεῖ. ἀ ζῶον ἄρα ὁ κροκόδειλος. ψευδὴς γάρ ἐστιν ἡ πρότασις ἡ ἐνταῦθα καὶ πρόσληψιν ἡ λέγουσα, ἀδὲν ζῶον τὴν ἄνω γένυν κινεῖ. ἰδοὺ γὰρ ὁ κροκόδειλος καὶ ζῶον καὶ τὴν ἄνω γένυν κινεῖ. τὸν αὐτὸν δὲ τρόπον καὶ ὅταν λέγῃ, μηδὲν ἀσώματον σώματι συμπάσχειν. προσλαμβάνει γὰρ τὸ ζητούμενον τῇ ἀποφάσει. εἰ δέπις ὑπολαμβάνοι ἀληθὲς εἶναι, τὸ μηδὲν ἀσώματον σώματι συμπάσχειν, ἀλλὰ τὸ ἐπαγόμενον ἐπ' ἔστιν ὁμολογούμενον, ὅτι συμπάσχει ἡ ψυχὴ νοσοῦντι καὶ τεμνομένῳ τῷ σώματι. ἀμφιβάλλεται γὰρ εἴτε σῶμα μόνον ἐστὶ τὸ ἀλγοῦν λαβὸν παρὰ τῆς ψυχῆς τὴν αἴσθησιν, αὐτὴ δὲ μένει ἀπαθὴς, εἴτε καὶ συναλγεῖ τῷ σώματι. καὶ κρατεῖ μᾶλλον παρὰ τοῖς ἐνδοξοτέροις τὸ πρότερον. οὐ δεῖ δὲ ἐκ τῶν ἀμφιβαλλομένων συνάγειν τοὺς συλλογισμούς. ἀλλ' ἐκ τῶν ὁμολογουμένων. ἐκ περιουσίας δεδείκνυται καὶ τινὰ ἀσώματα τοῖς σώμασι συμπάσχοντα· αἱ ποιότητες γοῦν ἀσώματοι οὖσαι πάσχουσι τῇ σωμάτων καὶ αὗται συμπάσχουσιν, ἔντε τῇ φθορᾷ καὶ τῇ λύσει συναλλοιούμεναι τῷ σώματι· χρύσιππος δέ φησιν ὅτι θάνατός ἐστι ψυχῆς χωρισμὸς ἀπὸ σώματος. οὐδὲν δὲ ἀσώματον ἀπὸ σώματος χωρίζεται· οὐδὲ γὰρ ἐφάπτεται σώματος ἀσώματον. ἡ δὲ ψυχὴ λύεται καὶ χωρίζεται τοῦ σώματος. σῶμα ἄρα ἡ ψυχή. τούτων τὸ μὲν τὸν θάνατον εἶναι χωρισμὸν ψυχῆς ἀπὸ σώματος ἀληθὲς ὄντι. τὸ δὲ μὴ ἐφάπτεσθαι ἀσώ-

ματον σώματος, ψεῦδος μέν ἐστι καθόλου λεγόμενον, ἐπὶ δὲ τῆς ψυχῆς ἀληθὲς. ψεῦδος μὲν ἐστι διὰ τὸ καὶ τὴν γραμμὴν ἀσώματος οὖσαν ἐφάπτεσθαι σώματος καὶ χωρίζεται· ὁμοίως καὶ τὴν λευκότητα. ἐπὶ δὲ τῆς ψυχῆς ἀληθὲς. οὐ γὰρ ἐφάπτεσθαι τοῦ σώματος ἡ ψυχὴ· εἰ γὰρ ἐφάπτεται, δῆλον ὅτι παράκειται αὐτῷ. εἰ δὲ τοῦτο οὐχ ὅλῳ παράκειται). ἀδύνατον γὰρ σῶμα σώματι ὅλον ὅλῳ ταὐτὸν εἶναι· καὶ οὕτως οὐκ ἔσται ὅλον ἔμψυχον τὸ ζῶον. ὥστε εἰ μὲν ἐφάπτεσθαι, σῶμα μὲν ἔσται ἡ ψυχὴ, ὅλον δὲ οὐκ ἔσται ἔμψυχον τὸ ζῶον. εἰ δὲ ὅλον ἐστὶν ἔμψυχον, οὔτε ἐφάπτεται), οὔτε σῶμα ἐστὶν ἡ ψυχή. τὸ δὲ ζῶον ὅλον ἔμψυχόν ἐστιν, οὔτε ἄρα ἐφάπτεται, οὔτε σῶμα ἐστὶν ψυχὴ, καὶ χωρίζεται ἀσώματος οὖσα. ὅτι μὲν οὖν οὐκ ἔστιν ἡ ψυχὴ σῶμα δῆλον ἐκ τῶν εἰρημένων. ὅτι δὲ καὶ ἀνάσιος ἑξῆς ῥητέον. ἐπεισὶ δὲ καὶ Δείναρχος ἁρμονίαν ὡρίσατο τὴν ψυχὴν, καὶ Σιμμίας ἀντιλέγων τῷ Σωκράτει τὴν ψυχὴν ἁρμονίαν εἶναι ἔφασκε λέγων ἐοικέναι τὴν μὲν ψυχὴν ἁρμονίᾳ, τὸ δὲ σῶμα λύρᾳ, ἐνθετέον τὰς λύσεις τούτων τὰς ἐν τῷ Φαίδωνι Πλάτωνος κειμένας. μιᾷ μὲν οὖν ἐστὶν ἐκ τῶν προαποδεδειγμένων αὐτῷ. προαποδέδεικται γὰρ ὅτι αἱ μαθήσεις ἀναμνήσεις εἰσὶ. τοῦτο οὖν λαβὼν ὡς ὁμολογούμενον κατασκευάζει τὸν λόγον οὕτως. εἰ αἱ μαθήσεις ἀναμνήσεις εἰσὶν, ἦν ἡμῶν ἡ ψυχὴ πρὶν ἐν τῷ ἀνθρωπίνῳ εἴδει γενέσθαι. εἰ δὲ ἁρμονία ἐστὶ πρότερον μὲν οὐκ ἦν, ὕστερον δὲ ἐγένετο ἁρμοσθέντος τε

σώματος· πᾶσα γὰρ σύνθεσις οὐκ ἄλλως ἔχει ἢ ὡς ἔχει τὰ ἐξ ὧν σύγκειται. κοινωνία γάρ τις ἐστὶ τῶν συντιθεμένων ἡ σύνθεσις ἁρμονία οὖσα· καὶ οὐ κωλύει τὸ μὴ ἡγεῖσθαι αὐτὴν, ἐκείνων ἀφ' ὧν συνετέθη ἀλλ' ἕπεσθαι αὐτοῖς. μάχεται τοίνυν τὸ ἁρμονίαν τὴν ψυχὴν εἶναι, τῷ τὰς μαθήσεις ἀναμνήσεις εἶναι. τὸ δὲ τῶν ἀναμνήσεων ἀληθές ἐστι, ψεῦδος ἄρα τὸ τὴν ψυχὴν ἁρμονίαν εἶναι. ἔτι ἡ μὲν ψυχὴ καὶ ἐναντιοῦται τῷ σώματι καὶ τὸν ἀρχικὸν ἐπέχει λόγον, ἅτε αὐτοῦ ἄρχουσα. ἡ δὲ ἁρμονία, οὔτε ἡγεῖται οὔτε ἐναντιοῦται· οὐκ ἄρα ἡ ψυχὴ ἁρμονία· ἔτι ἁρμονία ἁρμονίας μᾶλλον καὶ ἧττον ἐστὶν ἁρμονία τῷ χαλᾶσθαι καὶ ἐπιτείνεσθαι, οὐ τῷ λόγῳ δὲ τῆς ἁρμονίας. ἀδύνατον γὰρ ἐστι λόγον τὸ μᾶλλον καὶ ἧττον ἔχειν, ἀλλ' ἐν τῇ ἁρμογῇ. ἐὰν γὰρ κεκραμμένος ὀξὺς φθόγγος καὶ βαρὺς ἔπειτα ἀνεθῶσι, τὸν λογὸν μὲν τὸν αὐτὸν σώζουσιν ἐν τοῖς μεγέθεσι τῶν φθόγγων, παραλλαγὴν δὲ λαμβάνει ἡ ἁρμονία κατὰ τὴν ἁρμογὴν μᾶλλον καὶ ἧττον ἐπιτεινομένη· ψυχὴ δὲ ψυχῆς οὐκ ἔστι μᾶλλον καὶ ἧττον. οὐκ ἄρα ἁρμονία ἐστὶν ἡ ψυχὴ. ἔτι ἡ ψυχὴ τῷ ἐπιδέχεσθαι τὰ ἐναντία παρὰ μέρος οὐσία ἐστὶ καὶ ὑποκείμενον. ἡ δὴ ἁρμονία ποιότης καὶ ἐν ὑποκειμένῳ. ἡ δὴ οὐσία ποιότητος ἕτερον, καὶ ἡ ψυχὴ ἄρα ἁρμονίας ἕτερον· ἁρμονίας μέντοι μετέχειν τὴν ψυχὴν οὐδὲν ἄτοπον, ἀλλ' οὐ παρὰ τοῦτο ἁρμονία ἐστὶν· οὐ δὲ γὰρ διότι ἀρετῆς μετέχει ἀρετή ἐστιν ἡ ψυχὴ· Γαληνὸς δὲ ἀποφαίνεται μὲν οὐδὲν, ἀλλὰ καὶ διαμαρ-

μαρτύρεται ἐν τοῖς ἀποδεικτικοῖς λόγοις, ὡς οὐδὲν εἴη περὶ ψυχῆς ἀποφηνάμενος· ἔοικε δὲ ἐξ ὧν λέγει, δοκιμάζειν μᾶλλον τὸ κράσιν εἶναι τὴν ψυχὴν. ταύτῃ γὰρ ἐπακολουθεῖν τὴν τῶν ἠθῶν διαφορὰν. ἐκ τῶν Ἱπποκράτους κατασκευάζων τὸν λόγον· εἰ δὲ τοῦτο δῆλον ὅτι καὶ θνητὴν αὐτὴν οἴεται οὐ πᾶσαν δὲ, ἀλλὰ τὴν ἄλογον ψυχὴν μόνην. περὶ δὲ τῆς λογικῆς ἀμφιβάλλει λέγων οὕτως. * ὅτι δὲ οὐ δύναται τοῦ σώματος ἡ κράσις εἶναι ψυχὴ, δῆλον ἐντεῦθεν· πᾶν σῶμα ἐμψυχόντε καὶ ἄψυχον ἐκ τῶν τεσσάρων στοιχείων κέκραται. ἡ γὰρ τούτων κράσις τὰ σώματα ἀπεργάζεται. εἰ τοίνυν ἡ τοῦ σώματος κράσις ἐστὶν ἡ ψυχὴ, οὐδὲν ἄψυχον ἔσται. καὶ συνάγεται ὁ λόγος οὕτως· εἰ ἡ κράσις τοῦ σώματος ψυχή ἐστι, πᾶν δὲ σῶμα κράσιν ἔχει, πᾶν σῶμα ψυχὴν ἔχει. εἰ δὲ πᾶν σῶμα ψυχὴν ἔχει, οὐδὲν σῶμα ἐστὶν ἄψυχον. οὔτε λίθος ἄρα οὔτε ξύλα οὔτε σίδηρος οὔτε ἄλλό τι ἄψυχον ἔσται. εἰ δὲ μὴ καθόλου πᾶσαν κρίσιν σώματος λέγοι ψυχὴν εἶναι, ἀλλὰ τὴν τοιάνδε, ἐρωτητέον ποία κράσις ἐστὶν ἡ ποιοῦσα ζῶον καὶ ψυχῆς λόγον ἐπέχουσα. ὁ ποίαν γὰρ ἂν εἴποι τὴν κράσιν, τοιαύτην εὑρήσομεν καὶ ἐν τοῖς ἀψύχοις. ἐννέα γὰρ οὐσῶν κράσεων, ὡς αὐτὸς ἐν τῷ περὶ κράσεων ἔδειξεν. ὀκτὼ μὲν τῶν δυσκράτων· μιᾶς δὲ τῆς εὐκράτου κατὰ μὲν τὴν εὔκρατον λέγει κεκρᾶσθαι τὴν ἄνθρωπον. οὐ πάντα δὲ ἄλλα τὸν τῆς μέσης κράσεως. κατὰ δὲ τὰς ἄλλας δυσκρασίας τὰ ἄλλα ζῶα κατ' εἶδος μετὰ

Galeni κρᾶσις.

* λείπει τὰ τοῦ γαληνοῦ ῥήματα.

κρᾶσιν.

τῆς ἐπὶ τὸ μᾶλλον καὶ ἧττον ἀνέσεώς τε καὶ ἐπιτάσεως. εὑρίσκονται δὲ καὶ ἐν τοῖς ἀψύχοις αἱ ἐναντίαι κράσεις μετὰ τὸν μᾶλλον καὶ ἧττον, ὡς αὐτὸς πάλιν ἐν τοῖς ἁπλοῖς ἐπέδειξεν. ἔτι εἰ ἡ ψυχὴ κράσις ἐστὶν, ἀεὶ δὲ κράσεις ἐναλλάσσονται κατά τε τὰς ἡλικίας καὶ τὰς ὥρας καὶ τὰς δίαιτας, ἡ ψυχὴ ἐναλλάσσεται· εἰ δὲ ἐναλλάττεται, οὐ τὴν αὐτὴν ἔχομεν ψυχὴν, ἀλλὰ κατὰ τὴν κρᾶσιν, ποτὲ μὲν λεόντος, ποτὲ δὲ πρόβατου, ποτὲ δὲ ἄλλου τινὸς, ὅπερ ἄτοπον. ἔτι ἡ κρᾶσις οὐκ ἐναντιοῦται ταῖς ἐπιθυμίαις τοῦ σώματος, ἀλλὰ καὶ συνεργεῖ. αὕτη γάρ ἐστιν ἡ κινοῦσα, ἡ ψυχὴ ἐναντιοῦται, οὐκ ἄρα ἡ κρᾶσις ἐστὶ ψυχή. ἔτι εἰ κρᾶσις ἐστὶ ψυχὴ, ἡ δὲ κρᾶσις ποιότης, ποιότης δὲ καὶ γίνεται καὶ ἀπογίνεται χωρὶς τοῦ ὑποκειμένου φθορᾶς, καὶ ἡ ψυχὴ ἄρα χωρισθήσεται χωρὶς τοῦ ὑποκειμένου φθορᾶς. τοῦτο δὲ οὐκ ἀληθές, οὐκ ἄρα κράσις, οὐ δὲ ποιότης ἐστὶν ἡ ψυχή· οὐ γάρ ἐστιν τὸ ἕτερον τῶν ἀντικειμένων φυσικῶς προσεῖναι φήσουσι τῷ ζώῳ ὡς ἐπὶ τοῦ πυρὸς τὸ θερμόν. ἀμεταθέτως γάρ τοῦτο. φαίνεται δὲ μεταπιθεμένη ἡ κράσις μᾶλλον δὲ αὐτοί εἰσιν οἱ διὰ τῆς ἰατρικῆς τέχνης τὰς κράσεις μεταβάλλοντες. ἔτι παντὸς σώματος αἱ ποιότητες αἰσθηταὶ εἰσιν. ἡ δὲ ψυχὴ οὐκ αἰσθητὴ ἀλλὰ νοητή. οὐκ ἄρα ποιότης ἀσώματός ἐστιν ἡ ψυχή. ἔτι ἡ τοῦ αἵματος καὶ πνεύματος μετὰ παραθέσεως σαρκῶν καὶ νεύρων καὶ τῶν ἄλλων εὐκρασία, ἰσχύς ἐστι· καὶ ἡ τοῦ θερμῶν δὲ καὶ ψυχρῶν καὶ ξηρῶν καὶ ὑγρῶν εὐκρασία ὑγεία ἐστὶν, ἡ δὲ

ἡ δὲ συμμετρία τοῦ μελῶν μετὰ τῆς εὐχροίας τὸ κάλλος ποιεῖ τοῦ σώματος. εἰ τοίνυν ἡ ἁρμονία τῆς ὑγείας καὶ τὸ ἰσχύος καὶ τοῦ κάλλους ψυχή ἐστιν, ἀναίσιμη ἂν τὸν ἄνθρωπον ζῶντα μήτε νοσεῖν, μήτε ἀσθενεῖν, μήτε ἀμορφὴν εἶναι. συμβαίνει δὲ πολλάκις ἐν μίαν μόνῳ, ἀλλ' ὁμοῦ τὰς τρεῖς ταύτας εὐκρασίας ἀπόλλυσθαι καὶ ζῆν τὸν ἄνθρωπον· συμβαίνει γοῦν τὸν αὐτὸν ὁμοῦ καὶ ἄμορφον εἶναι καὶ ἀσθενεῖν καὶ νοσεῖν. οὐκ ἄρα ἡ εὐκρασία τοῦ σώματός ἐστιν ἡ ψυχή· πῶς οὖν φυσικαί τινες καλαὶ καὶ ἀρεταὶ τοῖς ἀνθρώποις ἕπονται; τοῦτο οὐκ ἀπὸ τοῦ σώματος ἀληθῶς κράσεως γίνεται· ὡς γοῦν φυσικῶς οἱ ὑγιεινοὶ καὶ νοσώδεις εἰσὶν οὐκ ἀπὸ κράσεως, οὕτω τινὲς φυσικῶς πικρόχολοι ὄντες ὀργίλοι εἰσὶν, ἄλλοι δειλοὶ, ἄλλοι καταφερεῖς. ἀλλ' ἔνιοι κρατοῦσι καὶ περιγίνονται· δῆλον δὲ ὅτι ἀπὸ κράσεως κρατοῦσιν, ἄλλο δέ ἐστι τὸ κρατοῦν καὶ ἄλλο τὸ κρατούμενον, ἄλλο ἄρα κράσις καὶ ἄλλο ψυχή. ὄργανον γοῦν ὂν τὸ σῶμα τῆς ψυχῆς, ἐὰν μὲν ἐπιτηδείως κατασκευασθῇ, συνεργεῖ τῇ ψυχῇ καὶ αὐτὸ ἔχει ἐπιτηδείως. ἐὰν δὲ ἀνεπιτηδείως ἐμποδίζει καὶ τότε χρεία τῇ ψυχῇ πραγμάτων ἀπομαχομένη πρὸς τὴν ἀνεπιτηδειότητα τοῦ ὀργάνου· καὶ ἐὰν μὴ σφόδρα νήφῃ καὶ σωφρονίσῃ αὐτῷ καθάπερ μουσικὸς συνεξαμαρτάνει τῇ τῆς λύρας διαφθορᾷ, ἐὰν μὴ πρότερον αὐτὴν κατασήσῃ καλῶς. διὸ καὶ χρεία τῇ ψυχῇ τῆς ἐπιμελείας τοῦ σώματος· ἵνα κατασήσῃ αὐτὸ ὄργανον ἐπιτήδειον

ἑαυτῆ. τοῦτο δὲ ποιεῖ διά τε τῶν λόγου καὶ τῶν ἡθῶν ὡς ἐν ἁρμονίᾳ τὰ μὲν χαλῶσα, τὰ δὲ ἐπιτείνουσα ἵνα ἁρμόδιον αὐτὸ ἑαυτῇ κατασκευάσῃ καὶ χρήσηται ἐπιτηδείῳ ὀργάνῳ ἐὰν μὴ καὶ αὐτὴ συνδιαστραφῇ αὐτὸ· συμβαίνει γὰρ καὶ τοῦτο. Αριστοτέλης δὲ τὴν ψυχὴν ἐντελέχειαν λέγων οὐδὲν ἧττον συμφέρεται τοῖς ποιότητα λέγουσιν αὐτὴν. διασαφήσωμεν δὲ πρότερον τὴν ἐντελέχειαν τίνα καλεῖ. τὴν οὐσίαν τριχῶς λέγει τὸ μὲν ὡς ὕλην ὑποκείμενον ὃ καθ' ἑαυτὸ μὲν οὐδέν ἐστι, δύναμιν δὲ ἔχει πρὸς γένεσιν· ἕτερον δὲ μορφὴ καὶ εἶδος καθ' ἣν εἰδοποιεῖται ἡ ὕλη· τρίτον δὲ τὸ συναμφότερον τὸ ἐκ τοῦ εἴδους καὶ τῆς ὕλης γεγενημένον, ὅ ἐστι λοιπὸν ἔμψυχον. ἔστι μὲν οὖν ἡ ὕλη δύναμις· τὸ δὲ εἶδος ἐντελέχεια. καὶ τοῦτο δὲ διχῶς τὸ μὲν ὡς ἐπιστήμη· τὸ δὲ ὡς θεωρεῖν κατ' ἐπιστήμην. τουτέστι τὸ μὲν ὡς διάθεσις τὸ δὲ ὡς ἐνέργεια. ὡς ἐπιστήμη μὲν οὖν ὅτι ἐν τῷ ὑπάρχειν τὴν ψυχὴν καὶ ὕπνος, καὶ ἐγρήγορσις ἐστιν. ἀνάλογος δὲ ἡ μὲν ἐγρήγορσις ἐστὶ τῷ θεωρεῖν, ὁ δὲ ὕπνος τῷ ἔχειν καὶ μὴ ἐνεργεῖν· προτέρα δέ ἐστιν ἡ ἐπιστήμη τῆς ἐνεργείας. διὸ καὶ πρώτην ἐντελέχειαν καλεῖ τὸ εἶδος· δευτέραν δὲ τὴν ἐνέργειαν. οἷον ὁ φθαλμὸς ἐξ ὑποκειμένου ἐστὶ καὶ εἴδους· καὶ ἔστι τὸ μὲν ὑποκείμενον ἐν αὐτῷ, τὸ δεδεγμένον τὴν ὄψιν ὕλη ὀφθαλμοῦ. καλεῖται δὲ καὶ αὐτὴ ὁμωνύμως ὀφθαλμὸς· εἶδος δὲ καὶ ἐντελέχεια ἐστὶ τοῦ ὀφθαλμοῦ ἡ ἐνέργεια καθ' ἣν ὁρᾷ. ὥσπερ οὖν ὁ ἄρτι

Aristotelis definitio animæ refutatur.

τεχθεὶς

τεχθεὶς σκύλαξ οὐδετέραν μὲν ἔχει ἐντελέχειαν, δύναμιν δὲ τοῦ δέξασθαι τὴν ἐντελέχειαν. οὕτως δεῖ λαβεῖν καὶ τὸ τῆς ψυχῆς· ὡς γὰρ ἐκεῖ γεννηθεῖσα ἡ ὄψις τελειοῖ τὸν ὀφθαλμὸν, οὕτως ἐνταῦθα γεννηθεῖσα ἡ ψυχὴ ἐν τῷ σώματι τελειοῖ τὸ ζῶον. ὡς μήτε ἄνευ σώματος εἶναι ποτὲ τὴν ψυχὴν, μήτε σῶμα δίχα ψυχῆς. σῶμα μὲν γὰρ οὐκ ἐπὶ σώματος δέ ἐστι, καὶ διὰ τοῦτο ἐν σώματι ὑπάρχει καὶ σώματι τοιῷδε· καθ' ἑαυτὴν δὲ οὐχ ὑπάρχει· ἀλλὰ πρῶτον μὲν τὸ παθητικὸν μέρος τῆς ψυχῆς ψυχὴν καλεῖ· χωρίζων αὐτῆς τὸ λογικὸν. ἔδει δὲ πᾶσαν ὁμοῦ λαβεῖν τὴν ψυχὴν τοῦ ἀνθρώπου καὶ μὴ ἀπὸ μέρους, καὶ ταῦτα τοῦ ἀσθενεστάτου περὶ τοῦ παντὸς ἀποφαίνεσθαι· ἔπειτα τὸ σῶμα φησὶ δυνάμει τὸ ζῆν ἔχειν καὶ πρὸ τοῦ γενέσθαι τὴν ψυχήν. λέγει γὰρ τὸ σῶμα δυνάμει ζωὴν ἔχειν ἐν ἑαυτῷ· δεῖ δὲ τὸ σῶμα τὸ δυνάμει ζωὴν ἔχον πρότερον ἐνεργείᾳ σῶμα εἶναι πρὸ τοῦ δέξασθαι τὸ εἶδος· ὕλη γάρ ἐστιν ἄποιος τὸ σῶμα· ἀδύνατον ἄρα τὸ μὴ ὂν ἐνεργείᾳ δύναμιν ἔχειν πρὸς τὸ ἐξ αὐτοῦ τι γίνεσθαι. εἰ δὲ καὶ σῶμα καὶ δυνάμει ἐστὶ, πῶς τὸ δυνάμει σῶμα δυνάμει ζωὴν ἔχειν ἐν ἑαυτῷ δύναται; ἄλλως τε ἐπὶ μὲν τῶν ἄλλων δυνατὸν ἔχοντά τι μὴ χρῆσθαι αὐτῷ οἷον ὄψιν ἔχοντα μὴ χρῆσθαι αὐτῇ· ἐπὶ δὲ τῆς ψυχῆς ἀδύνατον. οὐ δὲ γὰρ ὁ καθεύδων ἄνευ ψυχικῆς ἐνεργείας ἐστι· καὶ γὰρ τρέφεται καὶ αὔξεται καὶ φαντασιοῦται καὶ ἀναπνεῖ. ὅπερ μάλιστα τῆς ζωῆς ἐστι τεκμή-

ριον.

ριον. ἐκ τούτων οὖν φανερὸν ὅτι δυνάμει τὸ ζῆν οὐ δύναται προσεῖναίτινι ἀλλὰ πάντως ἐνεργείᾳ· προηγουμένως γὰρ τὸ εἰδοποιοῦν τὴν ψυχὴν οὐδὲν ἄλλο ἐστὶν ἀλλ' ζωή. τῇ μὲν γὰρ ψυχῇ σύμφυτος ἐστὶν ἡ ζωὴ. τῷ δὲ σώματι κατὰ μέθεξιν· ὁ λέγων τοίνυν ὑγείαν ἀνάλογον εἶναι τῇ ζωῇ οὐ τὴν τῆς ψυχῆς ζωὴν λέγει ἀλλὰ τὴν τοῦ σώματος· κατ' οὕτως σοφίζεται. ἡ μὲν γὰρ σωματικὴ οὐσία παρὰ μέρος τῆς ἐναντίων ἐστὶ δεκτική· ἡ δὲ κατὰ τὸ εἶδος οὐδαμῶς. ἐὰν γὰρ ἡ κατὰ τὸ εἶδος διαφορὰ μεταλλαγῇ, μεταλλάττεται καὶ τὸ ζῶον. ὡς τε οὐχ ἡ κατὰ τὸ εἶδος οὐσία τῆς ἐναντίων ἐστὶ δεκτικὴ ἀλλ' ἡ κατὰ τὸ ὑποκείμενον, τουτέστιν ἡ σωματική. ἐ δύναται τοίνυν ἡ ψυχὴ κατ' ἐδένα τρόπον ἐντελέχεια τοῦ σώματος εἶναι· ἀλλ' ἐσία αὐτοτελὴς ἀσώματος· παρὰ μέρος γὰρ ὑπόδεχεται τὰ ἐναντία κακίαν καὶ ἀρετήν. ὅπερ ἐκ ἠδύνατο τὸ εἶδος ὑπόδέξασθαι. ἔπειτα φησὶν ἐντελέχειαν ἔσαν τὴν ψυχὴν ἀκίνητον εἶναι καθ' ἑαυτὴν, κινεῖσθαι δὲ κατὰ συμβεβηκός. ἐ δὲ ἀσώματος ἀκίνητον ἔσαν κινεῖν ἡμᾶς. καὶ γὰρ τὸ κάλλος ἀκίνητον ὂν κινεῖ ἡμᾶς. ἀλλ' εἰ καὶ τοῦτο ἀκίνητον ὂν κινεῖ, ἀλλὰ τὸ φύσιν ἔχον κινεῖσθαι κινεῖ καὶ ἐχὶ τὸ ἀκίνητον. εἰ τοίνυν καὶ τὸ σῶμα καθ' ἑαυτὸ κίνησιν εἶχεν οὐδὲν ἦν αὐτῷ ἄτοπον κινεῖσθαι ὑπὸ ἀκινήτου. νῦν δὲ ἀδύνατον τὸ ἀκίνητον ὑπὸ ἀκινήτου κινεῖσθαι. πόθεν ἔν τῷ σώματι τὸ κινεῖσθαι· εἰ μὴ ἀπὸ τῆς ψυχῆς; οὐ γὰρ αὐτοκίνητον ὄντι τὸ σῶμα. πρώτως οὖν γένεσιν κινήσεως

κινήσεως βουλόμενος δεῖξαι οὐ πρώτως ἀλλὰ δευτέραν ἐδείξεν. εἰ μὲν γὰρ τὸ μὴ κινούμενον κινεῖ πρώτως ἐποίει κίνησιν. εἰ δὲ τὸ κινούμενον ἀφ' ἑαυτοῦ καὶ ἄλλως κινεῖ δευτέρας κινήσεως γένεσιν ἐξηγεῖται. πόθεν ἔν πρώτη γένεσις τῆς κινήσεως τῷ σώματι; τὸ γὰρ λέγειν ἀφ' ἑαυτῶν κινεῖσθαι τὰ στοιχεῖα, τὰ μὲν κοῦφα ὄντα φύσει τὰ δὲ βαρέα ψεῦδος ἐστὶν· εἰ γὰρ ἡ κουφότης καὶ βαρύτης κίνησις ἐστὶν, ἐδέποτε στήσεται τὰ κοῦφα καὶ τὰ βαρέα. ἵσταται δὲ τὸν οἰκεῖον καταλαβόντα τόπον. ἐκ ἄρα κουφότης καὶ βαρύτης αἰτίαι πρώτης κινήσεως εἰσὶν, ἀλλὰ ποιότητες τῆς στοιχείων. ἐὰν δὲ καὶ τοῦτο δοθῇ πῶς τὸ λογίζεσθαι καὶ δοξάζειν καὶ κρίνειν, δύναται κουφότητος καὶ βαρύτητος ἔργα εἶναι; εἰ δὲ μὴ τούτων, ἐδὲ τῆς στοιχείων. εἰ δὲ μὴ τῆς στοιχείων ἐδὲ τῆς σωμάτων· ἔτι εἰ καὶ συμβεβηκὸς ἡ ψυχὴ κινεῖται, τὸ δὲ σῶμα ἐξ ἑαυτοῦ καὶ μὴ ὄυσης τῆς ψυχῆς ἐξ ἑαυτοῦ τὸ σῶμα κινηθήσεται. εἰ δὲ τοῦτο μὴ ζῶον ἔσαι χωρὶς τῆς ψυχῆς· ἄτοπα δὲ ταῦτα, ἄτοπον ἄρα καὶ τὸ ἐξ ἀρχῆς· ἀλλ' οὐ δὲ τὸ λέγειν ὅτι πᾶν τὸ φύσει κινούμενον καὶ βίᾳ κινεῖται, καὶ πᾶν τὸ βίᾳ κινούμενον καὶ φύσει κινεῖται ἀληθές ὄστιν. ὁ γὰρ κόσμος φύσει κινούμενος βίᾳ οὐ κινεῖται· ἃ μὲν ἐδὲ ἔστι καὶ φύσιν κινεῖται τοῦτο καὶ καὶ φύσιν ἠρεμεῖ· καὶ γὰρ ὁ κόσμος καὶ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ φύσιν κινούμενοι, καὶ φύσιν ἠρεμεῖν οὐ δύνανται. τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ καὶ φύσιν ἀεὶ κίνητος οὖσα καὶ φύσιν ἠρεμεῖν ἐ δύναται. ἡ γὰρ ἠρεμία φθορὰ τῆς

ψυχῆς ἐστι καὶ παντὸς ἀεὶ κινήτου. πρὸς τούτοις καὶ τὸ ἀπορούμενον ἐξ ἀρχῆς * ἄλυτον μένει, πόθεν τὸ σῶμα συνέχεται φύσει πεφυκὸς σκεδάννυσθαι· ἀρκεῖ ταῦτα ἐκ πολλῶν ἀποδεῖξαι τὴν ψυχὴν μήτε ἐντελέχειαν οὖσαν, μήτε ἀκίνητον, μήτε ἐν σώματι γινομένην· Πυθαγόρας δὲ συμβολικῶς εἰκάζειν ἀεὶ καὶ τὸν Θεὸν καὶ πάντα τοῖς ἀριθμοῖς εἰωθὼς ὡρίσατο καὶ τὴν ψυχὴν ἀριθμὸν ἑαυτὴν κινοῦντα, ᾧ καὶ Ξενοκράτης ἠκολούθησεν. οὐχ ὅτι ἀριθμός ἐστιν ἡ ψυχὴ, ἀλλ' ὅτι ἐν τοῖς ἀριθμητοῖς ἐστι καὶ ἐν τοῖς πεπληθυσμένοις· καὶ ὅτι ἡ ψυχή ἐστιν ἡ διακρίνουσα τὰ πράγματα τῷ μορφὰς καὶ τύπους ἑκάστοις ἐπιβάλλειν· αὕτη γάρ ἐστιν ἡ τὰ εἴδη ἀπὸ τῶν εἰδῶν χωρίζουσα καὶ διάφορα αὐτὰ ἀποφαίνουσα τῇ τε ἑτερότητι τῶν εἰδῶν καὶ τῷ πλήθει τῶν ἀριθμοῦ, καὶ διὰ τοῦτο ἀριθμητὰ ποιοῦσα τὰ πράγματα. ὅθεν οὐ παντάπασιν ἀπήλλακται τῆς κατὰ τοὺς ἀριθμοὺς κοινωνίας. τὸ δὲ αὐτοκίνητον καὶ αὐτὰς αὐτῇ προσεμαρτύρησεν. ὅτι δὲ ἀριθμὸς οὐκ ἔστι, δῆλον ἐντεῦθεν, ὁ ἀριθμὸς ποσόν ἐστιν, ἡ δὲ ψυχὴ οὐ ποσὸν ἀλλ' οὐσία· οὐκ ἄρα ἀριθμὸς ἡ ψυχὴ· εἰ καὶ τὰ μάλιστα καὶ τὸν ἀριθμὸν ἐν τοῖς νοητοῖς οὐσίαν εἶναι βούλονται ὡς ἐν τοῖς ἑξῆς ἐροῦμεν· ἔτι ἡ ψυχὴ συνεχής ἐστι· ὁ δὲ ἀριθμὸς οὐ συνεχὴς. οὐκ ἄρα ἀριθμὸς ἡ ψυχὴ. ἔτι ὁ ἀριθμὸς κατὰ προσθήκην αὔξεται, ἡ δὲ ψυχὴ κατὰ προσθήκην οὐκ αὔξεται. ἔτι ὁ ἀριθμὸς ἄρτιός ἐστιν ἢ περιττὸς· ἡ δὲ ψυχὴ οὔτε ἄρτιος οὔτε περιττὴ· οὐκ ἄρα ἀριθμὸς ἡ ψυχὴ. ἔτι ἡ ψυχὴ αὐτοκίνη-

*ἄφορον.

Pythagorae definitio animae refutatur.

κίνητός ἐστιν. ὁ δὲ ἀριθμὸς ὡρισμένως ἀκίνητος· ἔτι ὁ μὲν ἀριθμὸς μένων εἷς καὶ ὁ αὐτὸς τὴν φύσιν οὐδὲ μίαν ποιότητα τὴν ἐν ἀριθμοῖς γινομένην ὑπαλλάξαι δύναται. ψυχὴ δὲ μία καὶ ἡ αὐτὴ μένουσα κατὰ τὴν οὐσίαν ὑπαλλάττει τὰς ποιότητας, ἐξ ἀμαθίας εἰς ἐπιστήμην μεταπίπτουσα καὶ ἐκ κακίας εἰς ἀρετήν. οὐκ ἄρα ἀριθμὸς ἡ ψυχὴ· τὰ μὲν οὖν τῶν παλαιῶν δόγματα περὶ ψυχῆς τοιαῦτα· Εὐνόμιος δὲ ὡρίσατο τὴν ψυχὴν οὐσίαν ἀσώματον ἐν σώματι κτιζομένην συμφωνήσας ὁμοῦ Πλάτωνι καὶ Αριστοτέλει· τὸ μὲν γὰρ οὐσίαν ἀσώματον ἐκ τοῦ Πλάτωνος εἴληφε· τὸ δὲ ἐν σώματι κτιζομένην ἐκ τῆς Αριστοτέλου διδασκαλίας. οὐκ ἐννοήσας καί περ ὀξὺς ὢν ὅτι συνάγειν εἰς ταυτὸ πειρᾶται τὰ ἀσύμβατα. πᾶν γὰρ τὸ γένεσιν ἔχον σωματικὴν ὁμοῦ καὶ χρονικὴν, φθαρτόν ἐστι καὶ θνητὸν· συνάδει δὲ τούτοις καὶ τὰ Μωϋσέως· τὴν γὰρ τῶν αἰσθητῶν γένεσιν ὑπογράφων οὐκ ἐν αὐτῇ καὶ τὴν τῶν νοητῶν ῥητῶς ἔφησεν ὑποστῆναι φύσιν. ἀλλ' εἰκάζοντες τινὲς τοῦτο δοξάζουσιν. οἷς οὐ πάντες συμφέρονται. εἰ δέτις ἐκ τοῦ μετὰ τὴν διάπλασιν τοῦ σώματος ἐμβεβλῆσθαι τὴν ψυχὴν ἡγοῖτο μετὰ τὸ σῶμα γεγενῆσθαι αὐτὴν, διαμαρτάνει τῆς ἀληθείας· οὔτε γὰρ ὁ Μωσῆς τότε αὐτὴν κεκτίσθαι λέγει ὅτε τῷ σώματι ἐνεβάλετο. οὔτε κατὰ λόγον οὕτως ἔχει. ἢ τοίνυν θνητὴν αὐτὴν λεγέτω ὡς Αριστοτέλης φήσας αὐτὴν ἐν σώματι γεννᾶσθαι, καὶ οἱ στωϊκοὶ· ἢ λέγων οὐσίαν ἀσώματον παραι-

Eunomii de animi natura et ab eo sentent.

αιτεῖσθω λέγειν ἐν σώματι κτιζομένην. ἵνα μὴ θνητῆς ψυχῆς ἔννοιαν ἡμῖν παραστήσῃ καὶ παντελῶς ἀλόγου ἄλλως τε κατ' αὐτὸν οὔπω πλήρης ἐστὶν ὁ κόσμος, ἀλλ' ἡ μιτελὴς ἔτι καὶ νῦν καὶ προσθήκης ἀεὶ δεόμενος. πεντάκις μυρίαι γοῦν τὸ ἐλάχιστον καθ' ἑκάστην ἡμέραν οὐσίαι νοηταὶ προσγίνονται αὐτῷ· καὶ τὸ χαλεπώτατον ὅταν τελεσιουργηθῇ τὸ τε διαλυθήσεται κατ' αὐτὸν, τῶν τελευταίων ἀνθρώπων τῶν πρὸς τῇ ἀναστάσει, τὸν ψυχικὸν ἀριθμὸν ἀποπληρούντων· οὗτι ἂν γένοιτο ἀλογώτερον τότε φάσκειν διαφθείρεσθαι τὸν κόσμον ὅταν πληρωθῇ· κομιδῇ γὰρ νηπίων παίδων ὁ τρόπος οὗτος ἐν ψάμμῳ τῆς παιδιᾶς εὐθὺς μετὰ τὸ πληρῶσαι συγχεόντων τὰ γενόμενα πράγματα· τὸ γὰρ λέγειν προνοίας λόγῳ νῦν τὰς ψυχὰς γίνεσθαι καὶ οὐχὶ κτίσεως· οὐ γὰρ καινὴν οὐσίαν οὐ δὲ ἄλλην παρὰ τὴν οὖσαν εἰσάγεσθαι, ἀλλὰ τὴν οὖσαν κατὰ πρόνοιαν πληστηριάζεσθαι ἀγνοούντων ἐστὶ διαφορὰν κτίσεως καὶ προνοίας. προνοίας μὲν γὰρ ἔργον ἐστὶ τὸ ἐξ ἀλληλογονίας διασώζειν τὴν τῶν φθαρτῶν ζώων οὐσίαν· λέγω δὲ τῶν μὴ κατὰ σηπεδόνα γενομένων· ἐπειδὴ τὴν τούτων διαδοχὴν σηπεδὼν πάλιν ἑτέρα διαφυλάττει, κτίσεως δὲ τὸ κράτιστον ἔργον τὸ ἐξ οὐκ ὄντων ποιεῖν· εἰ τοίνυν ἐξ ἀλληλογονίας αἱ ψυχαὶ γίνονται καὶ φθαρταὶ εἰσὶ, καθάπερ τὰ ἄλλα τὰ ἐκ διαδοχῆς γένους γινόμενα. εἰ δὲ ἐξ οὐκ ὄντων παράγονται, κτίσις ἐστὶ τὸ γινόμενον καὶ οὐκ ἔστιν ἀληθὲς τὸ τοῦ Μωϋσέως, τὸ, κατέ-

κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτῶν, ἄτοπα δὲ ἀμφότερα οὐκ ἄρα νῦν αἱ ψυχαὶ γίνονται· τὸ γὰρ ὁ πήρ μου ἐργάζεται, οὐκ ἐπὶ τῶν κτίζειν, ἀλλ' ἐπὶ τῶν προνοεῖν εἰρῆσθαι καὶ αὐτῷ δοκεῖ· Απολιναρίῳ δὲ δοκεῖ, τὰς ψυχὰς ἀπὸ τῶν ψυχῶν τίκτεσθαι, ὥσπερ ἀπὸ τῶν σωμάτων τὰ σώματα. προϊέναι γὰρ τὴν ψυχὴν κατὰ διαδοχὴν τοῦ πρώτου ἀνθρώπου εἰς τοὺς ἐξ ἐκείνου πάντας, καθάπερ τὴν σωματικὴν διαδοχὴν. μήτε γὰρ ἀποκεῖσθαι ψυχὰς, μήτε νῦν κτίζεσθαι· τοὺς γὰρ ταῦτα λέγοντας συνεργὸν ποιεῖν τὸν Θεὸν τοῖς μοιχοῖς· καὶ γὰρ ἐκ τούτων παιδία τίκτεται· ψεῦδος δὲ εἶναι καὶ τὸ, κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ποιεῖν, εἴπερ ἔτι καὶ νῦν ψυχὰς δημιουργεῖ. ἀλλ' εἰ πάντα τὰ κατὰ διαδοχὴν ἐξ ἀλληλογονίας γινόμενα δέδεικται θνητὰ. διὰ γὰρ τοῦτο γεννᾶ καὶ γεννᾶται, ἵνα τῶν φθαρτῶν διαμείνῃ τὸ γένος, ἀνάγκη καὶ τοῦτον ἢ θνητὴν εἶναι λέγειν τὴν ψυχὴν ἐξ ἀλληλογονίας γινομένην, ἢ μὴ κατὰ διαδοχὴν ἐξ ἀλληλογονίας γεννᾶσθαι τὰς ψυχάς. τὸ γὰρ ἐπὶ τῶν ἐκ μοιχείας γεννωμένων τῷ τῆς προνοίας λόγῳ καταλίπωμεν ἀγνώστῳ παρ' ἡμῖν ὄντι· εἰ δέ τι δεῖ καὶ τῆς προνοίας καταστοχάσασθαι πάντως οἶδες τὸ τικτόμενον ἢ τῷ βίῳ ἢ ἑαυτῷ χρήσιμον ἐσόμενον· καὶ διὰ τοῦτο συνχωρεῖ τὴν ἐμψύχωσιν γίνεσθαι· ἱκανὸν δὲ τεκμήριον τούτου λαμβάνομεν τὸν ἐκ τῆς τοῦ Ουρίου καὶ τοῦ Δαβὶδ γεννηθέντα Σολομῶνα. ἑξῆς ἐπισκεψώμεθα καὶ τὴν δόξαν τῶν Μανιχαίων, ἣν ἔχουσι περὶ

Apolinarii de ortu animi sentent.

manichaeorum de anima dogma

περὶ τῆς ψυχῆς. φασὶ μὲν γὰρ αὐτὴν ἀθάνατον καὶ ἀσώματον· μίαν δὲ μόνην εἶναι τὴν ὦν ἁπάντων ψυχὴν κατακερματιζομένην καὶ κατατεμνομένην εἰς τὰ καθ' ἕκαστα σώματα ἄψυχά τε καὶ ἔμψυχα· καὶ τὰ μὲν πλείονος αὐτῆς μετέχειν, τὰ δὲ ἐλάττονος· πλείονος μὲν τὰ ἔμψυχα, ἐλάττονος δὲ τὰ ἄψυχα· πολλῷ δὲ πλείονος τὰ οὐράνια. ὡς τῆς καθόλου ψυχῆς μέρη τὰς καθ' ἕκαστον εἶναι ψυχὰς· καὶ εἰ μὲν ἀμερίστως μερίζεσθαι ταύτην ἔφασκον ὡς τὴν φωνὴν ἐν τοῖς ἀκούουσι μέτριον ἂν ἦν τὸ κακὸν· νῦν δὲ τὴν οὐσίαν αὐτὴν τῆς ψυχῆς καταμερίζεσθαι λέγουσι· καὶ τὸ πάντων χαλεπώτατον ὅτι κυρίως αὐτὴν ἐν τοῖς στοιχείοις εἶναι βούλονται, καὶ συμμερίζεσθαι τούτοις ἐν τῇ τῶν σωμάτων γενέσει καὶ πάλιν εἰς ταυτὸ συνιέναι διαλυομένων τῶν σωμάτων. ὡς ὕδωρ μεριζόμενον καὶ πάλιν συναγόμενον καὶ μιγνύμενον καὶ τὰς μὲν καθαρὰς ψυχὰς χωρεῖν εἰς τὸ φῶς φῶς οὔσας. τὰς δὲ μεμολυσμένας ὑπὸ τῆς ὕλης χωρεῖν εἰς τὰ στοιχεῖα· καὶ πάλιν ἀπὸ τῶν στοιχείων εἰς τὰ φυτὰ καὶ τὰ ζῶα· καὶ οὕτω τὴν οὐσίαν αὐτῆς κατατέμνοντες καὶ σωματικὴν ἀποφαίνοντες καὶ πάθεσιν ὑποβάλλοντες ἀθάνατον εἶναι φασί· περιπέπτουσι δὲ τοῖς ἐναντίοις· φάσκοντες γὰρ ἀναστρέχειν τὰς μεμολυσμένας ψυχὰς ἐπὶ τὰ στοιχεῖα καὶ κατασυμμίγνυσθαι ἀλλήλαις, πάλιν αὐτὰς ἐν ταῖς μετενσωματώσεσι φασὶ τιμωρεῖσθαι καὶ τὸ μέγεθος τῶν ἁμαρτημάτων

ἑνοῦντες

ἑνοῦντες αὐτὰς καὶ πάλιν χωρίζοντες καθ' ὑπόστασιν· καὶ γὰρ τὰς σκιὰς φωτὸς μὲν ὄντος χωρίζεσθαι, συννεφίας δὲ γενομένης ἑνοῦσθαι, ὅπερ ἀδύνατον ἐπὶ νοητῆς φύσεως γίνεσθαι· καὶ γὰρ αἱ σκιαὶ τῶν αἰσθητῶν εἰσιν, εἰ καὶ δοίη τις αὐτὰς χωρίζεσθαι καὶ πάλιν ἑνοῦσθαι. Πλάτων δὲ καὶ μίαν εἶναι καὶ πολλὰς τὰς ψυχὰς ἀποφαίνεται· μίαν μὲν γὰρ εἶναι τοῦ παντὸς τὴν ψυχὴν, εἶναι δὲ καὶ ἄλλας τῶν καὶ μέρος, ὡς ἰδίᾳ μὲν τὸ πᾶν ἐψυχῶσθαι ὑπὸ τῆς τοῦ παντὸς ψυχῆς, ἰδίᾳ δὲ πάλιν τὰ καὶ μέρος ὑπὸ τῆς ἰδίας ἑκάστου ψυχῆς. λέγει γοῦν τὴν μὲν τοῦ παντὸς διατετάσθαι ψυχὴν ἀπὸ τοῦ κέντρου τῆς γῆς ἐπὶ τὰ πέρατα τοῦ οὐρανοῦ· οὐ τοπικῶς αὐτὴν διατετάσθαι φάσκων, ἀλλὰ νοητῶς· ταύτην δὲ τὴν ψυχὴν εἶναι τὴν περιάγουσαν σφαιροειδῶς τὸ πᾶν καὶ συνέχουσαν καὶ συσφίγγουσαν τὸ σωματοειδὲς τοῦ κόσμου. δεῖσθαι γὰρ τὰ σώματα τοῦ συνέχοντος ἐν τοῖς προλαβοῦσιν ἐδείχθη· ποιεῖν δὲ τοῦτο τὴν εἰδοποιὸν ψυχὴν ζῆν γὰρ ἕκαστον τῶν ὄντων τὴν ἰδίαν ζωὴν καὶ φθείρεσθαι τὴν ἰδίαν φθορὰν. ἕως μὲν γὰρ συνέχεται καὶ συσφίγγεται, τὸ σῶμα εἶναι λέγεται. διαλυόμενον δὲ φθείρεσθαι· καὶ ζῆν μὲν πάντα, μὴ εἶναι δὲ πάντα ζῶα· διακρίνουσι γὰρ ἀπὸ μὲν τῶν ἀψύχων τὰ φυτὰ τῷ αὔξεσθαι καὶ τρέφεσθαι, τουτέστι τῇ θρεπτικῇ καὶ φυσικῇ δυνάμει. τὰ δὲ ἄλογα ζῶα ἀπὸ τῶν φυτῶν τῇ αἰσθήσει, τὰ δὲ λογικὰ ἀπὸ τῶν ἀλογῶν τῷ λογικῷ· καὶ οὕτως ζῆν πάντα λέγοντες διαστέλλουσι τὴν

ἑκάστου

ἑκάστου φύσιν. ζῆν μὲν λέγουσι καὶ τὰ πάντη ἄψυχα ἑκτικὴν ζωὴν καθ' ὃ συνέχεται ὑπὸ τῆς τοῦ παντὸς ψυχῆς * τῷ εἶναι μόνον καὶ μὴ διαλύεσθαι. ταύτην δὲ εἶναι τὴν ψυχὴν τὴν διακυβερνῶσαν τὸ πᾶν καὶ τὴν τὰς μερικὰς ψυχὰς τὰς πρότερον παρὰ τοῦ δημιουργοῦ γενομένας ἐπιπέμπουσαν· δηλαδὴ αὐτοῦ τοῦ δημιουργοῦ καὶ νόμους αὐτῇ δεδωκότος, καθ' οὓς διεξάγειν ὀφείλει τοῦτο τὸ πᾶν, οὓς καὶ εἱμαρμένην καλεῖ, καὶ χορηγοῦντος δύναμιν ἀρκοῦσαν διέπειν ἡμᾶς. εἴρηται δὲ ταῦτα καὶ ἐν τοῖς περὶ εἱμαρμένης. κοινὴν μὲν οὖν πάντες ἕλληνες οἱ τὴν ψυχὴν ἀθάνατον ἀποφηνάμενοι τὴν μετενσωμάτωσιν δογματίζουσι. διαφέρονται δὲ περὶ τὰ εἴδη τῶν ψυχῶν· οἱ μὲν γὰρ ἓν εἶδος τὸ λογικὸν λέγουσι. τοῦτο δὲ καὶ εἰς φυτὰ καὶ εἰς τὰ τῶν ἀλόγων σώματα μεταβαίνειν· οἱ μὲν κατά τινας ῥητὰς χρόνων περιόδους, οἱ δὲ ὡς ἔτυχεν. ἄλλοι δὲ οὐχ' ἓν εἶδος ψυχῶν, ἀλλὰ δύο λογικόν, τε καὶ ἄλογον. τινὲς δὲ πολλὰ, τοσαῦτα ὅσα τῶν ζώων τὰ εἴδη· μάλιστα δὲ οἱ ἀπὸ Πλάτωνος περὶ τὸ δόγμα τοῦτο διηνέχθησαν. εἰπόντος γὰρ Πλάτωνος τὰς μὲν θυμικὰς καὶ ὀργίλους καὶ ἁρπακτικὰς ψυχὰς λύκων καὶ λεόντων σώματα μεταμφιέννυσθαι· τὰς δὲ περὶ τὴν ἀκολασίαν ἠσχολημένας ὄνων καὶ τῶν τοιούτων ἀναλαμβάνειν σώματα, οἱ μὲν κυρίως ἤκουσαν τοὺς λέοντας καὶ τοὺς λύκους καὶ τοὺς ὄνους· οἱ δὲ τροπικῶς αὐτὸν εἰρημέναι διέγνωσαν τὰ ἤθη διὰ τῶν ζώων παρεμφαίνοντα· Κρόνιος μὲν γὰρ ἐν

*εἰς τὸ

ἐν τῷ περὶ παλιγγενεσίας, οὕτω δὲ καλεῖ τὴν μετενσωμάτωσιν λογικὰς πάσας βούλεται. ὁμοίως δὲ καὶ Θεόδωρος ὁ Πλατωνικὸς ἐν τῷ ὅτι ἡ ψυχὴ πάντα τὰ εἴδη ἐστὶ· καὶ Πορφύριος ὁμοίως· Ἰάμβλιχος δὲ τὴν ἐναντίαν τούτοις δραμὼν κατ' εἶδος ζώων ψυχῆς εἶδος εἶναι λέγει· ἤγουν εἴδη διάφορα. γέγραπται γοῦν αὐτῷ μονόβιβλον ἐπίγραφον, ὅτι οὐκ ἀπ' ἀνθρώπων εἰς ἄλογα, οὐδὲ ἀπὸ ζώων ἀλόγων εἰς ἀνθρώπους αἱ μετενσωματώσεις γίνονται, ἀλλὰ ἀπὸ ζώων εἰς ζῶα καὶ ἀπὸ ἀνθρώπων εἰς ἀνθρώπους. καί μοι δοκεῖ μᾶλλον οὗτος ἕνεκα τούτου καλῶς κατεστοχᾶσθαι μὴ μόνον τῆς Πλάτωνος γνώμης, ἀλλὰ καὶ τῆς ἀληθείας αὐτῆς· ὡς ἔστιν ἐκ πολλῶν καὶ ἄλλων ἐπιδεῖξαι, μάλιστα δὲ ἐκ τούτων. οὐ δὲ γὰρ μίαν τῶν λογικῶν κινήσεων ἐμφαίνεσθαι τοῖς ἀλόγοις ζώοις. οὔτε γὰρ τέχναι οὔτε μαθήματα οὔτε βουλαὶ οὔτε ἀρεταὶ οὔτε ἄλλοτί τῶν διανοητικῶν ἐν αὐτοῖς ἐστιν· ἐξ ὧν δῆλον ὡς οὐ μέτεστι λογικῆς ψυχῆς αὐτοῖς. καὶ γὰρ ἄτοπον λέγειν τὰ ἄλογα λογικά. εἰ γὰρ καὶ κομιδὴν ἐοῦσι τοῖς βρέφεσιν ἡ ἄλογος μόνη κίνησις πρόσεστιν, ἀλλὰ ψυχὴν λογικὴν φαμὲν ἔχειν αὐτά· ἐπειδήπερ αὐξανόμενα τὴν λογικὴν ἀναδείκνυσιν ἐνέργειαν. τὸ δὲ ἄλογον κατ' οὐδεμίαν ἡλικίαν ἐμφαῖνον τὸ λογικὸν περιττῶς ἂν ἔσχε λογικὴν ψυχὴν, ἀχρίστου παντελῶς μελούσης ἔσεσθαι τῆς λογικῆς δυνάμεως· καὶ γὰρ οὐδὲν περιττὸν παρὰ τοῦ Θεοῦ γεγενῆσθαι συμφώνως πᾶσι συνω

 μολό-

μολόγηται· εἰ δ' τοῦτο, περιττῶς ἂν ἡ λογικὴ ψυχὴ τοῖς κτήνεσι καὶ τοῖς θηρίοις ἐγκατεβάλετο μηδέποτε δυναμένη τὸ ἑαυτῆς ἔργον ὅπη δείξασθαι· καὶ ἦν ἂν ἔγκλημα τοῦ δόντος ἀνάρμοστον ψυχὴν τῷ σώματι. οὔτε γὰρ τεχνίτου τὸ ἔργον, ἔστε τάξιν ἢ ἁρμονίαν εἴδοτος· εἰ δέ τις λέγοι κινεῖσθαι μὲν κατὰ διάθεσιν λογικῶς τὰ ζῶα, τὴν δὲ διάπλασιν αὐτῶν ἀνεπίδεκτον εἶναι τεχνικῆς πράξεως, πεμπόμενος τὸν λόγον ἀπὸ τοῦ ἀνθρώπου, περιαιρεθέντων γὰρ μόνων τῶν δακτύλων τῶν χειρῶν, τὰς πλείστας τέχνας ἀδυνατόλλυσθαι, ἐκλύει τὸ ζητούμενον· μένει γὰρ ἔτι τὸ αὐτὸ ἄτοπον, ὡς τοῦ Θεοῦ μὴ προσφορον ψυχὴν ἐναρμόσαντος τῷ σώματι, ἀλλὰ περιττὴν καὶ ἀνόνητον καὶ ἀνενέργητον ἐμποδιζομένῳ διὰ πάσης τῆς ἡλικίας αὐτῶν εἰς τὰς οἰκείας ἐνεργείας πρὸς τοῦ καὶ τὸν λόγον αὐτὸς κατασκευάζειν ἐξ ἀδήλων καὶ οὐχ ὁμολογουμένων· πόθεν γὰρ ὅτι κατὰ διάθεσιν λογικῶς κινεῖται τὰ ζῶα; βέλτιον οὖν πρόσφορον ἡγεῖσθαι ἑκάστῳ σώματι ψυχὴν ἐνηρμόσθαι, καὶ μηδὲν ἔχειν πλέον κατὰ διάθεσιν τὰ ζῶα τῶν ἐμφαινομένης ἐν τοῖς ἔργοις αὐτῶν φυσικῆς ἁπλότητος· ἕκαστον γὰρ εἶδος τοῦ ἀλόγων κατ' οἰκείαν ὁρμὴν κινεῖται, πρὸς ἣν γέγονεν ἐξ ἀρχῆς χρείαν τε καὶ ἐνέργειαν· καὶ πρὸς ταῦτα καὶ τὴν διάπλασιν ὁπωσδεία ἔχει. οὐ μὴν ἀβοήθητα παντάπασιν αὐτὰ καταλέλοιπεν ὁ δημιουργὸς, ἀλλ' ἑκάστῳ φυσικὴν οὐ λογικὴν ἐνέβαλε σύνεσιν· ποτὲ δὲ καὶ πανουργίαν ἐνέθηκεν ὥσπερ τέχνης

τέχνης εἰκόνα καὶ σκιὰν λογικὴν, δυεῖν τούτων ἕνεκεν, ὑπὲρ τοῦ καὶ τὰς ἐνεργώσας ὁπὶ βουλὰς ἐκκλίνειν, καὶ τὰς μελούσας προφυλάττεσθαι, καὶ ἐπὶ τοῦ σωζεσθαι τὴν κτίσιν πᾶσαν ἑαυτῆς, ὡς ἤδη εἴρηται. ὅτι δὲ οὐ λογικῶς ταῦτα ποιεῖ, δῆλον ἐκ τοῦ κατ' εἶδος ἕκαστον ζῶον ὁμοίως τὰ αὐτὰ ποιεῖν, καὶ μὴ διαλλάττειν αὐτῶν ἐν τοῖς πλήθεσι τὰς ἐνεργείας, ἐμὴ κατὰ τὸ μᾶλλον καὶ ἧττον, ἀλλὰ κατὰ μίαν ὁρμὴν ὅλον τὸ εἶδος κινεῖσθαι. πᾶς γὰρ λαγὼς ὁμοίως τεχνάζεται, καὶ πᾶς λύκος ὁμοίως πανουργεῖ, καὶ πᾶς πίθηκος ὁμοίως μιμεῖται). ὅπερ οὐκ ἔστιν ἐπ' ἀνθρώπων· μυρίαι γὰρ ὁδοὶ τοῦ ἀνθρωπείου πράξεων. ἐλεύθερον γάρ τι καὶ αὐτεξούσιον τὸ λογικὸν· ὅθεν ἐφ' ἓν καὶ ταυτὸν πᾶσιν ἔργον ἀνθρώποις· ὡς ἑκάστῳ εἶδει τοῦ ἀλόγων ζώων· φύσει γὰρ μόνῃ ταῦτα κινεῖται. τὰ δὲ φύσει ὁμοίως παρὰ πᾶσιν ἐστίν. αἱ δὲ λογικαὶ πράξεις ἄλλαι παρ' ἄλλοις καὶ οὐκ ἐξ ἀνάγκης αἱ αὐταὶ παρὰ πᾶσιν. εἰ δέ λέγοιεν ἐπὶ τιμωρίᾳ τὴν ψυχὴν τοῦ πεπλημμεληκότος ἐν τῷ ἀνθρωπείῳ βίῳ εἰς τοιαῦτα σώματα καταπέμπεσθαι, ὅτι τοῦ ὑστέρου ποιοῦνται τὴν ἀπόδειξιν. διατί γὰρ εἰς τὰ πρῶτα γενόμενα σώματα τῶν ζώων, ἐνεβλήθησαν λογικαὶ ψυχαί; οὐ γὰρ δήπου ὡς ἐν σώμασιν ἀνθρωπείοις ἁμαρτήσασαι πρὶν καὶ εἰς σῶμα ἐλθεῖν ἀνθρώπειον, ἔοικε δὲ ταύτῃ τῇ δόξῃ τεθεῖν καὶ Γαλλιὼς ὁ θαυμάσιος ἰατρὸς, καὶ καθ' ἕκαστον εἶδος ζώου, διάφορον εἶναι δοξάζειν καὶ ψυχῆς εἶδος. λέγει

γὰρ εὐθὺς ἐν ἀρχῇ τῶν πρώτου βιβλίου τῆς περὶ χρείας
„ μορίων πραγματείας, οὕτως· καὶ εἰ τοῦτο πολλὰ τῶν
„ ζώων ἔσται μόρια· τὰ μὲν μείζω, τὰ δὲ ἐλάττω,
„ τὰ δὲ παντάπασιν εἰς ἕτερον εἶδος ἄτμητα· χρεία
„ δὲ πάντων αὐτῶν ἐστι τῇ ψυχῇ. τὸ γὰρ σῶμα ταύτης
„ ὄργανον, καὶ διὰ τοῦτο πολὺ διενήνοχεν ἀλλήλων τὰ μό-
ρια τῶν ζώων, ὅτι καὶ αἱ ψυχαί. πάλιν δὲ προκόπτων
„ ἐν τῷ αὐτῷ βιβλίῳ, προστίθησιν ἐπὶ τῶν πιθήκου καὶ
„ τοῦτο· καὶ μὴν ὦ σοφώτατε κατήγορε λέξοιεν ἂν ἡ φύ-
σις πρὸς σὲ γελοίῳ τὴν ψυχὴν ζώῳ γελοίαν ἐχρῆν
δοθῆναι σώματος κατασκευὴν· οὕτως οἶδες τοῖς δια-
φόροις κατ' εἶδος σώμασι διαφόρους ἐνούσας ψυ-
χὰς· καὶ ταῦτα μὲν περὶ τούτων. εἰ δὲ τὴν ψυχὴν
ἀπεδεῖξαμεν μήτε σῶμα οὖσαν, μήτε ἁρμονίαν,
μήτε κράσιν, μήτε ἄλλην τινὰ ποιότητα, δῆλον ἐκ
τούτων ὡς οὐσία τίς ἐστιν ἀσώματος ἡ ψυχὴ. ὅτι
μὲν γὰρ ἐστιν ὁμολογεῖται πᾶσιν· εἰ δὲ μήτε σῶμα
μήτε συμβεβηκὸς, δῆλον ὅτι ἀσώματός ἐστι οὐσία καὶ
οὐδὲν τῶν ἐχόντων ἐν ἄλλῳ τὸ εἶναι. ταῦτα γὰρ καὶ
γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου
φθορᾶς. τῆς δὲ ψυχῆς χωριζομένης τὸ σῶμα πάν-
τως φθείρεται. τοῖς αὐτοῖς δὲ χρησαμένην ἔστιν ἀπο-
δεῖξαι τὴν ψυχὴν ἀθάνατον οὖσαν. εἰ γὰρ μήτε σῶ-
μα ἐστὶν ὅπερ φύσει διαλυτὸν ἐδείχθη, καὶ φθαρ-
τὸν, μήτε ποιότης, μήτε ποσότης, μήτε ἄλλό τι τῶν
φθειρομένων, δῆλον ὅτι ἀθάνατός ἐστι· πολλαὶ μὲν οὖν
εἰσι τῆς ἀθανασίας αὐτῆς αἱ ἀποδείξεις παράτε

Πλάτωνι

Πλάτωνι καὶ τοῖς ἄλλοις· ἀλλ' ἐκεῖναι μὲν περισκε-
λεῖς καὶ δυσκατανόητοι καὶ μόλις τοῖς ἐντεθραμμένοις
ἐκείναις ταῖς ἐπιστήμαις γνώριμοι· ἡμῖν δὲ ἀρκεῖ
πρὸς ἀπόδειξιν τῆς ἀθανασίας αὐτῆς, ἡ τῶν θείων
λογικῶν διδασκαλία, τὸ πιστὸν ἀφ' ἑαυτῆς ἔχουσα
διὰ τὸ θεόπνευστος εἶναι· πρὸς δὲ τοὺς μὴ καταδε-
χομένους τὰ τῶν Χριστιανῶν * γράμματα, ἀρκεῖ τὸ
μηδὲν εἶναι τὴν ψυχὴν τῶν φθειρομένων ἀποδεῖξαι·
εἰ γὰρ μηδέν ἐστι τῶν φθειρομένων, ἔστι δὲ ἄφθαρτος,
ἔστι καὶ ἀθάνατος. ὥς τε τοῦτο μὲν ἀρκούντως ἔχον πα-
ραλειπτέον.

* δόγματα.

ΠΕΡΙ ΕΝΩΣΕΩΣ ΨΥΧΗΣ ΚΑΙ ΣΩΜΑΤΟΣ ΚΕΦ. Γ.

ΖΗΤΗΤΕΟΝ δὲ πῶς ψυχῆς καὶ σώματος
ἀψύχου γίνεται ἕνωσις. ἄπορον γὰρ τὸ πρᾶγμα. εἰ
δὲ μὴ μόνον ἐκ τούτων, ἀλλὰ καὶ τοῦ νοῦ συνέστηκεν
ὁ ἄνθρωπος, ὡς εἶπον τινὲς, ἔτι πλέον ἀπορώτερον·
πάντα γὰρ τὰ συνιόντα εἰς μιᾶς οὐσίας ὑπόστασιν
πάντως ἑνοῦται· πάντα δὲ τὰ ἑνούμενα ἀλλοιοῦ),
καὶ οὐ μένει ἃ ἦν πρότερον, ὡς ἐπὶ τῶν στοιχείων
δειχθήσεται. ἑνωθέντα γὰρ ἀλλότι γέγονε· πῶς οὖν
ἢ τὸ σῶμα ἡνωμένον τῇ ψυχῇ ἔτι μένει σῶμα, ἢ
πάλιν ἡ ψυχὴ ἀσώματος οὖσα καὶ οὐσιώδης καθ'
ἑαυτὴν, πῶς ἑνοῦται σώματι καὶ μέρος γίνεται τοῦ
ζώου σώζουσα τὴν ἰδίαν οὐσίαν ἀσύγχυτον καὶ
ἀδιάφθορον; ἀνάγκη γὰρ ἢ ἡνῶσθαι τὴν ψυχὴν καὶ τὸ
σῶμα καὶ συνηλλοιῶσθαι καὶ συνεφθάρθαι ἀμφότερα

 ὡς

ὡς τὰ στοιχεῖα· ἢ μὴ ἡνῶσθαι μὲν διὰ τὰς εἰρημένας ἀτοπίας, παρακεῖσθαι δὲ ὡς χορευτὰς ἐν χορῷ· ἢ ψῆφον τῇ ψήφῳ· ἢ κεκράσθαι ὡς οἶνον καὶ ὕδωρ· ἀλλ' ὅτι μὲν οὐ δύναται παρακεῖσθαι τῷ σώματι ἡ ψυχὴ, ἐν τῷ περὶ ψυχῆς ἀποδέδεικται· ἦν γὰρ ἂν αὐτὸ μόνον τὸ μέρος τοῦ σώματος ἔμψυχον τὸ πλησίαζον τῇ ψυχῇ, τὸ δὲ μὴ συνημμένον, ἄψυχον. πρὸς τῷ μὴ δύνασθαι ἓν λέγειν εἶναι τὸ κατὰ παράθεσιν, ὡς ξύλα, φέρε εἰπεῖν, καὶ σίδηρον ἢ τὶ τοιοῦτον. καὶ ἡ κράσις δὲ τοῦ οἴνου καὶ τοῦ ὕδατος ἀμφότερα συνδιαφθείρει. οὔτε γὰρ ὕδωρ ἐστὶ καθαρὸν τὸ κράμα οὔτε οἶνος· καίτοι τῆς τοιαύτης κράσεως κατὰ παράθεσιν γινομένης λανθανούσης τὴν αἴσθησιν διὰ τὸ λεπτομερὲς τῶν κεκραμένων· δῆλον δὲ ἐκ τοῦ πάλιν ἀπαλλήλων δύνασθαι χωρίζεσθαι. σπόγγος γοῦν ἐλαιωθεὶς ἀνιμᾶται καθαρὸν τὸ ὕδωρ καὶ πάπυρος· αἰσθητῶς δὲ χωρίσαι τὰ ἀκριβῶς ἡνωμένα παντάπασιν ἀδύνατον. εἰ δὲ μήτε ἥνωται, μήτε παράκειται, μήτε κέκραται τίς ὁ λόγος τοῦ τὸ ζῶον ἓν λέγεσθαι; Πλάτων μὲν οὖν καὶ διὰ ταύτην τὴν ἀπορίαν οὐ βούλεται τὸ ζῶον ἐκ ψυχῆς εἶναι καὶ σώματος· ἀλλὰ ψυχὴν σώματι κεχρημένην, καὶ ὥσπερ ἐνδεδυμένην τὸ σῶμα· ἔχει δὲ καὶ οὕτως ὁ λόγος ἀπορόν τι. πῶς γὰρ ἓν εἶναι δύναται μετὰ τοῦ ἐνδύματος ἡ ψυχὴ; οὐ γὰρ ἓν ὁ χιτὼν μετὰ τοῦ ἐνδεδυμένου. Αμμώνιος δὲ ὁ διδάσκαλος τοῦ Πλωτίνου το ζητούμενον τοῦτον τὸν τρόπον ἐπελύετο. ἔλεγε γὰρ

γὰρ τὰ νοητὰ τοιαύτην ἔχειν φύσιν, ὡς καὶ ἑνοῦσθαι τοῖς δυναμένοις αὐτὰ δέξασθαι καθάπερ τὰ συνεφθαρμένα, καὶ ἡνωμένα μένειν ἀσύγχυτα καὶ ἀδιάφθορα ὡς τὰ παρακείμενα· ἐπὶ μὲν γὰρ σωμάτων ἡ ἕνωσις ἀλλοίωσιν τῶν συνιόντων πάντως ἐργάζεται, ἐπειδήπερ εἰς ἄλλα σώματα μεταβάλλεται ὡς τὰ στοιχεῖα εἰς τὰ συγκρίματα, καὶ αἱ τροφαὶ εἰς αἷμα, τὸ δὲ αἷμα εἰς σάρκα, καὶ τὰ λοιπὰ μόρια τοῦ σώματος· ἐπὶ δὲ τῶν νοητῶν ἕνωσις μὲν γίνεται, ἀλλοίωσις δὲ οὐ παρακολουθεῖ. οὐ γὰρ πέφυκε τὸ νοητὸν κατ' οὐσίαν ἀλλοιοῦσθαι· ἀλλ' ἢ ἐξίσταται, ἢ εἰς τὸ μὴ ὂν φθείρεται, μεταβολὴν δὲ οὐκ ἐπιδέχεται, ἀλλ' ὄν τε εἰς τὸ μὴ ὂν φθείρεται. οὐ γὰρ ἂν ἦν ἀθάνατον. καὶ ἡ ψυχὴ ζωὴ οὖσα, εἰ ἐν τῇ κράσει μετεβάλλετο, ἠλλοιώθη ἂν καὶ οὐκ ἦν ἂν ἔτι ζωή. τί δὲ συνεβάλλετο τῷ σώματι, εἰ μὴ παρεῖχεν αὐτῷ τὴν ζωήν; οὐκ ἄρα ἀλλοιοῦται ἡ ψυχὴ ἐν τῇ ἑνώσει. δεδειγμένου τοίνυν τούτου ὅτι τὰ νοητὰ ἀναλλοίωτα κατ' οὐσίαν ἐστὶν, ἀναγκαίως παρακολουθεῖ τὸ καὶ ἑνούμενα αὐτὰ μὴ συνδιαφθείρεσθαι, οἷς ἥνωνται· καὶ ἥνωται τοίνυν καὶ ἀσυγχύτως ἥνωται τῷ σώματι ἡ ψυχὴ. ὅτι μὲν γὰρ ἥνωται, ἡ συμπάθεια δείκνυσι· συμπαθεῖ γὰρ ὅλον ἑαυτῷ τὸ ζῶον ὡς ἓν ὄν. ὅτι δὲ ἀσύγχυτον μένει, δῆλον ἐκ τοῦ τὴν ψυχὴν τρόπον τινὰ χωριζομένην τοῦ σώματος ἐν τῷ ὕπνῳ, καὶ ὥσπερ νεκρὸν αὐτὸ κεῖσθαι καταλιποῦσαν μόνον δὲ ἐξ ατμίζουσαν αὐτῷ τὴν ζωὴν, ἵνα μὴ παντελῶς ἀπο-

 λεῖται,

λεῖται, καὶ καθ' ἑαυτὴν ἐν τοῖς ὀνείροις ἐνεργεῖν θεατίζουσαν τὸ μέλλον καὶ τοῖς νοητοῖς πλησιάζουσαν. ταυτὸ συμβαίνει καὶ ὅταν καθ' ἑαυτὴν ὑπισκέπτηται τί τῶν νοητῶν· καὶ τότε γὰρ ὡς ὄντε τῷ σώματος ἑαυτὴν χωρίζῃ καὶ καθ' ἑαυτὴν γίνεσθαι· ἵν' οὕτως ὑπιβάλῃ τοῖς οὖσιν. ἀσώματος γὰρ οὖσα δι' ὅλου κεχώρηκεν ὡς τὰ σωφθαρμένα. μένουσα ἀδιάφθορος ὡς τὰ ἀσύγχυτα, καὶ τὸ καθ' ἑαυτὴν ἓν διασώζουσα. καὶ ἐν οἷς ἂν γένηται ζῶπουσα ἐκεῖνα κατὰ τὴν ἑαυτῆς ζωὴν, καὶ μὴ ζωπομένη ὑπ' ἐκείνων. ὡς γὰρ ὁ ἥλιος τῇ παρουσίᾳ αὐτοῦ τὸν ἀέρα εἰς φῶς μεταβάλλει, ποιῶν αὐτὸν φωτοειδῆ, καὶ ἑνοῦται τῷ ἀέρι τὸ φῶς ἀσυγχύτως ἅμα αὐτῷ κεχυμένον, τὸν αὐτὸν ξόπον καὶ ἡ ψυχὴ ἑνουμένη τῷ σώματι μένει παντελῶς ἀσύγχυτος. κατὰ τοῦτο μόνον διαλλάττουσα ὅτι ὁ μὲν ἥλιος σῶμα ὢν καὶ τόπῳ περιγραφόμενος οὐκ ἔστι πανταχοῦ ἔνθα καὶ τὸ φῶς αὐτοῦ. ὡς οὐδὲ τὸ πῦρ. μένει γὰρ καὶ αὐτὸ ἐν τοῖς ξύλοις ἢ ἐν θρυαλλίδι δεδεμένον ὡς ἐν τόπῳ· ἡ δὲ ψυχὴ ἀσώματος οὖσα καὶ μὴ περιγραφομένη τόπῳ, ὅλη δι' ὅλου χωρεῖ καὶ τοῦ φωτὸς ἑαυτῆς καὶ τοῦ σώματος· καὶ οὐκ ἔστι μέρος φωτιζόμενον ὑπ' αὐτῆς ἐν ᾧ μὴ ὅλη παρέστιν· οὐ γὰρ κρατεῖται ὑπὸ τοῦ σώματος, ἀλλ' αὐτὴ κρατεῖ τὸ σῶμα. οὐδὲ ἐν τῷ σώματι ἐστὶν ὡς ἐν ἀγγείῳ ἢ ἀσκῷ· ἀλλὰ μᾶλλον τὸ σῶμα ἐν αὐτῇ· μὴ κωλυόμενα γὰρ ὑπὸ τῶν σωμάτων τὰ νοητὰ, ἀλλὰ διὰ παντὸς σώματος χωρεῖν-

τα καὶ διαφοιτῶντα καὶ διεξιόντα οὐχ' διάτε ἐστὶν ὑπὸ τόπου σωματικοῦ κατέχεσθαι· νοητὰ γὰρ ὄντα ἐν νοητοῖς καὶ τόποις ἐστὶν· ἢ γὰρ ἐν ἑαυτοῖς ἢ ἐν τοῖς ὑπερκειμένοις νοητοῖς. ὡς ἡ ψυχὴ ποτὲ μὲν ἐν ἑαυτῇ ὄντα, ὅταν λογίζεται, ποτὲ δὲ ἐν τῷ νῷ ὅταν νοῇ. ἐπὶ ἂν οὖν ἐν σώματι λέγηται εἶναι οὐχ' ὡς ἐν τόπῳ τῷ σώματι λέγεσθαι εἶναι, ἀλλ' ὡς ἐν σχέσει καὶ τῷ παρεῖναι, ὡς λέγεται ὁ Θεὸς ἐν ἡμῖν· καὶ γὰρ τῇ σχέσει καὶ τῇ ῥοπῇ τι ῥοπῇ καὶ διαθέσει, δεδέσθαι φαμὲν ὑπὸ τοῦ σώματος τὴν ψυχήν. ὡς λέγομεν ὑπὸ τοῦ ἐρωμένης δεδέσθαι τὸν ἐρασθήν· οὐ σωματικῶς ἀλλὰ τοπικῶς, ἀλλὰ κατὰ σχέσιν. ἀμέγεθες γὰρ ὂν καὶ ἄογκον καὶ ἀμερὲς, τῆς κατὰ μέρος τοπικῆς περιγράφεσθαι κρείττον ἐστὶ. τὸ γὰρ μὴ ἔχον μέρος ποιῷ δύναται τόπῳ περιγράφεσθαι; οὐ γὰρ τόπος συνυφίσταται· τόπος γὰρ ὅτι ῥέρας τοῦ περιέχοντος καθ' ὃ περιέχει τὸ περιεχόμενον. εἰ δὲ τις λέγοι· οὐκοῦν καὶ ἐν Αλεξανδρείᾳ καὶ ἐν Ρώμῃ ἐστὶ καὶ πανταχοῦ ἡ ἐμὴ ψυχὴ λανθάνει ἑαυτὸν πάλιν τόπον λέγων. καὶ γὰρ τὸ ἐν Αλεξανδρείᾳ καὶ ὅλως τὸ ἐν τῷδε, τόπος ἐστὶν. ἐν τόπῳ δὲ ὅλως οὐκ ἔστιν, ἀλλ' ἐν σχέσει. δέδεκται γὰρ μὴ δύνασθαι περιληφθῆναι τόπῳ. ὅταν οὖν ἐν σχέσει γένηται τοῦ νοητοῦ τόπου πνὸς ἢ θεάματος ἐν τόπῳ ὄντος καταχρηστικώτερον λέγομεν ἐκεῖ αὐτὸ εἶναι, διὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν ἐκεῖ· τὸν τόπον ἀντὶ τῆς σχέσεως καὶ τῆς ἐνεργείας λαμβάνοντες. δέον γὰρ λέγειν ἐκεῖ ἐνεργεῖ λέγομεν ἐκεῖ ἐστιν, ἁρμό-

σθε

σεῖε δ' ἂν οὗτος ὁ λόγος καθαρώτερον καὶ μάλιστα τῇ πρὸς τὸν ἄνθρωπον ἑνώσει τοῦ Θεοῦ λόγου. καθ' ἣν ἑνωθεὶς ἔμεινεν ἀσύγχυτος καὶ ἀπερίληπτος· οὐ κατὰ τὸν τῆς ψυχῆς τρόπον. ἐκείνη μὲν γὰρ τῶν πεπληθυσμένων οὖσα δοκεῖ καὶ συμπάσχειν πως δι' οἰκειότητα τῷ σώματι, καὶ κρατεῖν ἐσθ' ὅτε καὶ κρατεῖσθαι· ὁ δὲ Θεὸς λόγος οὐδὲν αὐτὸς ἀπὸ τῆς κοινωνίας τῆς περὶ τὸ σῶμα καὶ τὴν ψυχὴν ἀλλοιούμενος, οὐδὲ μετέχων τῆς ἐκείνων ἀσθενείας, μεταδιδοὺς δὲ αὐτοῖς τῆς ἑαυτοῦ θεότητος γίνεται σὺν αὐτοῖς ἓν μένων, ἐν ᾧπερ ἦν καὶ πρὸ τῆς ἑνώσεως. καινότερος οὗτος ὁ τρόπος τῆς κράσεως ἢ ἑνώσεως· καὶ κιρνᾶται καὶ μένει παντάπασιν ἄμικτος καὶ ἀσύγχυτος καὶ ἀδιάφθορος καὶ ἀμετάβλητος· οὐ συμπάσχων, ἀλλὰ συμπράττων μόνον· οὐδὲ συνφθειρόμενος καὶ συναλλοιούμενος, ἀλλὰ συναυξάνων μὲν ἐκεῖνα, αὐτὸς δὲ μὴ μειούμενος ὑπ' αὐτῶν πρὸς τῷ μένειν ἄτρεπτος καὶ ἀσύγχυτος. ἐπειδὴ καὶ καθαρῶς πάσης ἀλλοιώσεως ἀμέτοχός ἐστι· μάρτυς τούτου ἐστὶ Πορφύριος ὁ κατὰ τῶν Χριστοῦ κινήσας τὴν ἑαυτῶν γλῶσσαν. ἰσχυραὶ δὲ τῶν ἐχθρῶν αἱ ὑπὲρ ἡμῶν μαρτυρίαι, καὶ μηδεμίαν ἀντιλογίαν ἐπιδεχόμεναι. οὗτος τοίνυν ὁ Πορφύριος ἐν τῷ δευτέρῳ λόγῳ τῶν συμμίκτων ζητημάτων γράφει κατάλεξιν οὕτως· οὐκ ἀπογνωστέον οὖν ἐνδέχεσθαι τινὰ οὐσίαν παραληφθῆναι εἰς συμπλήρωσιν ἑτέρας οὐσίας, καὶ εἶναι μέρος οὐσίας μένουσαν κατὰ τὴν ἑαυτῆς φύσιν μετὰ τῶν συμπλη-

ρῶν

ρῶν ἄλλην οὐσίαν ἓν τὲ σὺν ἄλλῳ γενομένην, καὶ τὸ καθ' ἑαυτὴν ἓν διασώζουσαν. καὶ τὸ μεῖζον, αὐτὴν μὲν μὴ τρεπομένην, τρέπουσαν δὲ ἐκεῖνα ἐν οἷς ἂν γίγνηται εἰς τὴν ἑαυτῆς ἐνέργειαν τῇ παρουσίᾳ. λέγει δὲ ταῦτα περὶ τῆς ἑνώσεως τῆς ψυχῆς καὶ τοῦ σώματος. εἰ δὲ ἐπὶ τῆς ψυχῆς ἀληθὴς ὁ λόγος διὰ τὸ ἀσώματον, πολλῷ πλέον ἐπὶ τοῦ Θεοῦ λόγου τῶν μᾶλλον ἀσυγκρίτου καὶ κατὰ ἀλήθειαν ὄντος ἀσωμάτου· ὅπερ ἄντικρυς ἀποφράττει τὰ στόματα τῶν ἐπιχειρούντων κατηγορεῖν τῆς τοῦ Θεοῦ ἑνώσεως πρὸς τὸν ἄνθρωπον. τῶν γὰρ ἑλλήνων οἱ πολλοὶ γέλωτα ποιοῦνται, φάσκοντες ἀδύνατον καὶ ἀπίθανον καὶ ἀπρεπὲς εἶναι συγγενέσθαι θνητῇ φύσει τὸ θεῖον κατὰ κράσιν καὶ ἕνωσιν. ἀλλ' ἡμεῖς τοῖς εὐδοκίμοις αὐτῶν χρησάμενοι μάρτυσιν ἀποδυόμεθα τὴν αἰτίαν. λέγεται δὲ παρά τισι καὶ μάλιστα παρὰ τοῖς Ευνομιάνοις ἡνῶσθαι τὸν Θεὸν λόγον τῷ σώματι οὐ κατ' οὐσίαν, ἀλλὰ κατὰ τὰς ἑκατέρου δυνάμεις. οὐ γὰρ εἶναι τὰς οὐσίας τὰς ἑνωθείσας ἢ κραθείσας, ἀλλὰ τὰς δυνάμεις τοῦ σώματος ταῖς δυνάμεσι ταῖς θείαις συγκεκρᾶσθαι· δυνάμεις δὲ τοῦ σώματος παντὸς δήπου τοῦ ὀργανικοῦ κατὰ Αριστοτέλην λέγουσιν εἶναι τὰς αἰσθήσεις. ταύταις οὖν αἱ θεῖαι δυνάμεις συγκιρνάμεναι τὴν ἕνωσιν ἀπειργάσαντο κατ' αὐτούς. οὐδεὶς δὲ ἂν αὐτοῖς οἶμαι συγχωρήσειε τὰς αἰσθήσεις σωματικὰς δυνάμεις ἀποφαινομένοις· διώρισται γὰρ ἐν τοῖς ἔμπροσθεν σαφῶς, τίνα μὲν ἴδια σώμα-

τος,

τος, τίνα δὲ ψυχῆς, τίνα δὲ τὸ σωματοφυτέρου· καὶ ἐν τοῖς ἰδίοις τὸ σωματοφυτέρου τὰς δι' ὀργάνων αἰσθήσεις ἐτίθεμην· αὐτὰ δὲ τὰ ὄργανα, τὸ σώματος ἐλέγομεν εἶναι. βέλτιον οὖν ὡς προείρηται καὶ τὴν οἰκείαν φύσιν τῆς ἀσωμάτων ἀσυγχύτως τὴν ἕνωσιν γίνεσθαι τῆς οὐσιῶν, μηδὲν παραβλαπτομένης τῆς θειοτέρας ἐκ τῆς ὑποδεεστέρας· ἀλλὰ ταύτης μόνον ὠφελημένης ἐκ τῆς θειοτέρας. ἐπεὶπερ ἡ καθαρῶς ἀσώματος φύσις, χωρεῖ μὲν ἀκωλύτως διὰ πάντων. δι' αὐτῆς δὲ οὐδὲν, ὥστε τῷ μὲν χωρεῖν αὐτὴν διὰ πάντων, ἡνῶσθαι. τῷ δὲ μηδὲν δι' αὐτῆς, μένειν ἄμικτον καὶ ἀσύγχυτον· οὐκ εὐδοκίᾳ τοίνυν ὁ ζόφος τῆς ἑνώσεως, ὡς τισι τῶν ἐνδόξων ἀνδρῶν δοκεῖ, ἀλλ' ἡ φύσις αἰτία· τὸ μὲν γὰρ ἀναλαβὸν σῶμα κατ' εὐδοκίαν ἔστι πως ἂν εὐλόγως γε γενῆσθαι, τὸ δὲ ἐνούμενον μὴ συγχυθῆναι καὶ τὴν οἰκείαν τῆ Θεῷ φύσιν οὐ κατ' εὐδοκίαν γίνεται· τὰς γὰρ βαθμὰς τῆς ψυχῶν καὶ τὰς ἀναβάσεις καὶ καταβάσεις ἃς Ωριγένης εἰσάγει μηδὲν προσηκούσας ταῖς θείαις γραφαῖς, μὴ δὲ σωζούσας, τοῖς τῆς χριστιανῶν δόγμασι παραλειπτέον.

ΠΕΡΙ ΣΩΜΑΤΟΣ ΚΕΦ. Δ.

ΠΑΝ σῶμα τῆς τεσσάρων στοιχείων ἐστὶ σύγκριμα καὶ ἐκ τούτων γέγονε· φησὶ μὲν τὰ τῆς ἐναίμων ζώων ἐκ τῆς τεσσάρων χυμῶν, αἵματος, φλέγματος, ξανθῆς τε χολῆς, καὶ μελαίνης. τὰ δὲ τῶν ἀναίμων ἔκ τε τῆς ἄλλων χυμῶν καὶ ἐκ τοῦ ἀναλογοῦς

γοῦς ἐν αὐτοῖς τῷ αἵματι· φησὶ δὲ λέγεται ὅταν ἀμέσως ἐξ αὐτῆς ἐκείνων τί γένηται· ὡς ἐξ μὲν τῆς τεσσάρων στοιχείων σύγκριμα τὰς τέσσαρας χυμὰς· τῆς δὲ χυμῶν τὰ ὁμοιομερῆ ἃ ὄζει μόρια τῶν σώματος, εἰκάζουσι δὲ τῇ μὲν γῇ τὴν μέλαιναν χολὴν, τῷ δὲ ὕδατι τὸ φλέγμα· τῷ δὲ ἀέρι τὸ αἷμα, τῷ δὲ πυρὶ τὴν ξανθὴν χολὴν, πᾶν δὲ σύγκριμα στοιχείων ἢ στερεόν ἐστιν, ἢ ὑγρὸν, ἢ πνεῦμα. Αριστοτέλης δὲ ἐξ αἵματος μόνου βούλεται γίνεσθαι τὰ σώματα τῆς ζώων· ἐκ τούτου γὰρ ἤρξεσθαι προσεχῶς καὶ αὐξάνεσθαι πάντα τὰ τοῦ ζώου μόρια· καὶ τὸ σπέρμα δὲ τὴν γένεσιν ἐξ αἵματος ἔχειν. ἀλλ' ἐπεὶπερ ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ ἐκ ἐδόκει καλῶς ἔχειν τάτε σκληρότατα ὀστέα καὶ τὴν ἁπαλωτάτην σάρκα καὶ πιελὴν γίνεσθαι, ἤρεσεν Ιπποκράτει πρώτῳ τὰ σώματα τῶν ζώων ἐκ τῶν τεσσάρων χυμῶν συμπήγνυσθαι προσεχῶς· ἵν' ἐκ μὲν τῶν γεωδεστέρων καὶ παχυμερεστέρων τὰ στερεώτερα γίνωνται, ἐκ δὲ τῶν μαλακωτέρων τὰ μαλακά. εὑρίσκονται δὲ πολλάκις οἱ τέσσαρες ἐν τῷ αἵματι χυμοὶ, ὡς ἔστιν ἰδεῖν ἐν ταῖς φλεβοτομίαις ποτὲ μὲν τῶν ὀρρώδους φλέγματος πλεονάζοντος ἐν αὐτῷ· ποτὲ δὲ τῆς μελαίνεται ἢ ξανθῆς χολῆς· ὅθεν δοκοῦσι πως ἀλλήλοις συμφωνεῖν οἱ ἄνδρες· ἔστι δὲ τῶν ἐν τοῖς ζώοις μερῶν, τὰ μὲν ὁμοιομερῆ, τὰ δὲ ἀνομοιομερῆ· οἷον ὁμοιομερῆ μὲν ἐγκέφαλος· μήνυγκες, νεῦρον, μυελὸς, ὀστέον, ὀδοὺς, χόνδρος, ἄδενες·

νες, ὄνυχες: σύνδεσμοι, ὑμένες, ἶνες, ξίφες, σάρκες, φλέβες, ἀρτηρίαι, φόροι, πιμελὴ, δέρμα, καὶ τὰ ὁμοιομερῆ τοιχεῖα προσεχῆ τούτων, αἷμα, καθ' αἷμα καθαρὸν, φλέγμα, χολὴ μέλαινα, καὶ ξανθὴ· ὁ δὲ τένων σύνθετός ἐστιν ἔκ τε σωδέσμων καὶ νευρωδῶν ἴνων· ἀνομοιομερῆ δὲ κεφαλὴ, θώραξ, χεῖρες, πόδες, καὶ τὰ ἄλλα μέλη τοῦ ἀνθρώπου. οὐ γὰρ εἰς κεφαλὴν διαιρεῖται ἡ κεφαλὴ· ὥσπερ τὸ νεῦρον εἰς νεῦρον· καὶ ἡ φλὲψ εἰς φλέβα, καὶ ἡ σὰρξ εἰς σάρκα· πᾶν δὲ ἀνομοιομερὲς ἐξ ὁμοιομερῶν συνέστηκεν, ὡς ἡ κεφαλὴ ἐκ νεύρων καὶ σαρκῶν καὶ ὀστέων καὶ τοιούτων· καλοῦσι δὲ ταῦτα καὶ ὀργανικά· ὅρος δὲ ὁμοιομερῶν ἔστω· ὧν τὰ μόρια τῷ, τε ὅλῳ καὶ ἀλλήλοις ἐστὶν ὅμοια· τὸ δὲ ὅμοιον νῦν ἀντὶ τοῦ ταυτὸν δεῖ λαμβάνειν· οὐ πᾶν δὲ ζῷον πάντα τὰ μόρια τοῦ σώματος κέκτηται, ἀλλ' ἔστιν ἔνια κολοβά· τὰ μὲν γὰρ ὄφιν ἄποδα ὡς ἰχθύες, καὶ ὄφεις· τὰ δὲ ἀκέφαλα, ὡς καρκίνοι καὶ κάραβοι καὶ τοῦ νηκτοῦ ἔνια· ἐν δὲ τῷ στήθει τὰ αἰσθητήρια ἔχουσι, διὰ τὸ μὴ ἔχειν κεφαλήν· τὰ δὲ πνεύμονος ἐστέρηται, ὅσα μὴ ἀναπνεῖ τὸν ἀέρα· τὰ δὲ νύσιν οὐκ ἔχει ὡς ὄρνιθες καὶ πάντα τὰ μὴ ὀυρῆντα· τὰ δὲ ὀστρακόδερμα τοῦ πλείστου ἀμοιρεῖ μελῶν· ἐν ὀλίγοις γὰρ αὐτοῖς τὸ εἶναι ζώοις ὑπάρχει· δοκεῖ δέ τινα καί τοι ἔχοντα μὴ ἔχειν, ὡς ἔλαφοι δοκοῦσι μὴ ἔχειν τὴν ξανθὴν χολὴν, ἐπεὶ δ' ἥπερ ἐν τοῖς ἐντέροις ἔχουσιν αὐτὴν διεσπαρμένην καὶ ἀφανῆ· ὁ δὲ ἄνθρωπος καὶ πάντα

πάντα καὶ τέλεια, καὶ ὡς οὐκ ἂν ἄλλως ἐνδέχοιτο καλῶς ἔχειν πάντα· οὕτω δὲ καὶ τὴν θέσιν τῶν μορίων, πολλὴ ἡ διαφορὰ τοῖς ζώοις. τὰ μὲν γὰρ ἔχει τὰς μαστὰς ἐν τῷ στήθει· τὰ δὲ ἐν τῇ κοιλίᾳ· τὰ δὲ ὑπὸ τοὺς μηρούς· καὶ τὰ μὲν β', τὰ δὲ δ', τὰ δὲ πλείους. κεδὸν γὰρ σωνεμέβησεν ἡ φύσις τῷ γενναιοτέρων ἀριθμῷ τὸ πλῆθος τῶν μαστῶν· εἰ δέ τις ἀκριβῶς ἐπιλέγοι ταῦτα βέλοιτο, τὴν περὶ ζώων ἱστορίαν Ἀριστοτέλους ἀναγινωσκέτω· οὐ γὰρ τῆς προκειμένης γραφῆς ἀκριβῶς ὅσα ταῦτα. ἀλλ' οἷον ὑπογραφάς τινας καὶ τύπους ἐνταῦθα· μετέλθωμεν δὲ ἐπὶ τὸν τῶν στοιχείων λόγον ἐξ ἀκολουθίας ὑπιζητούμενον.

ΠΕΡΙ ΣΤΟΙΧΕΙΩΝ ΚΕΦ. Ε.

ΤΟ στοιχεῖον τὸ κοσμικὸν, ὅσι μέρος ἐλάχιστον τοῦ συγκρίματος τῶν σωμάτων· εἰσὶ δὲ στοιχεῖα δ'· γῆ, ὕδωρ, ἀὴρ, πῦρ, σωτεταγμένα κατὰ τὴν εἰρημένην τάξιν, ἀπὸ τοῦ κάτωθεν ἐπὶ τὰ ἄνω σώματα· αὐτὰ πρώτατα καὶ ἁπλᾶ, ὡς πρὸς τὰ ἄλλα σώματα· καὶ γὰρ πᾶν στοιχεῖον ὁμογενές ὅσι τοῖς ὧν ὅσι στοιχεῖον· ἡ μὲν γὰρ ἀρχὴ οὐκ ὁμογλυὴς τοῖς ἐξ αὐτῆς· τὸ δὲ στοιχεῖον πάντως ὁμογλυὲς· ἀλλ' ὅτι μὲν γῆ καὶ ὕδωρ ἀήρ τε καὶ πῦρ ὅσι τὰ στοιχεῖα δῆλον. καὶ γὰρ ἐν τούτοις ἄκραι αἱ ποιότητες δυνάμει καὶ ἐνεργείᾳ φαίνονται· οὐ μὴν τῶν ἀισθητῶν τι τούτων στοιχείων ἄκρατον ἢ ἀνεπίμικτόν ὅσιν ἑτέρου στοιχείου· νενόηται γὰρ ἤρεμα πως ἅπαντα ταῦ-

τα, καὶ μετείληφεν ἀλλήλων μᾶλλον καὶ ἧττον· ἀλλὰ καὶ ἐν τῇ μίξει καταδηλός ἐστιν ἡ φύσις αὐτῶν· ἕκαστον δὲ τῶν στοιχείων καὶ συζυγίαν δύο ποιότητας ἔχει τὰς εἰδοποιούσας αὐτό. ἔστι γὰρ ἡ μὲν γῆ ξηρὰ καὶ ψυχρά· τὸ δὲ ὕδωρ ψυχρὸν καὶ ὑγρόν· ὁ δὲ ἀὴρ ὑγρὸς καὶ θερμὸς κατὰ τὴν ἑαυτοῦ φύσιν· τὸ δὲ πῦρ θερμὸν καὶ ξηρόν· οὐ μὴν αἱ ποιότητες καθ' ἑαυτὰς εἶναι δύνανται στοιχεῖα· οὐ γὰρ ἂν ποιοτήτων ἀσωμάτων ὄντων τε συστῆναι σώματα, ἀλλ' οὐδὲ τἆλλα σώματα μὴ ἄκραν ἔχοντα καὶ κατ' ἐνέργειαν τὴν ποιότητα δυνατὸν εἶναι στοιχεῖα. εἰ γὰρ ἦν ἄπειρα τὰ στοιχεῖα πάντων τῶν ὄντων τὴν καὶ τὸ μᾶλλον καὶ ἧττον ποιότητα κεκτημένων, καὶ οὐ δυναμένων διακριθῆναι ποῖα ποίων στοιχεῖα ἐστιν. ἀνάγκη τοίνυν τὸ στοιχεῖον εἶναι καὶ σῶμα καὶ ἁπλοῦν σῶμα, καὶ κατ' ἐνέργειαν ἔχον ἄκρας τὰς ποιότητας· λέγω δὲ θερμότητα καὶ ψυχρότητα, ὑγρότητα καὶ ξηρότητα· αὗται γὰρ μόναι τῶν ποιοτήτων ὅλῳ δι' ὅλου μεταβάλλουσι τὴν οὐσίαν· τῶν δὲ ἄλλων ποιοτήτων οὐδὲ μία τοῦτο δρᾷ. οὔτε γὰρ τὸ λευκὸν πλησιάζον σώματι λευκαίνει αὐτὸ ὅλου, ὡς τὸ θερμὸν θερμαίνει καὶ τὸ ψυχρὸν ψύχει, οὔτε τῶν ἄλλων οὐδέν. ἐναντία δὲ ἀλλήλοις ἐστὶ τὰ στοιχεῖα τὰ κατὰ τὰς δ' ποιότητας ἐναντίας, ὡς τὸ ὕδωρ τῷ πυρὶ ψυχρὸν ὂν καὶ ὑγρόν, θερμῷ ὄντι καὶ ξηρῷ· καὶ ἡ γῆ τῷ ἀέρι ψυχρὰ οὖσα καὶ ξηρά, τῷ θερμῷ καὶ ὑγρῷ. ἐπεὶ δὲ τὰ ἐναντία συνάπτεσθαι ἀλλήλοις οὐκ ἠδύνατο, μὴ μέσου τινὸς δεσμοῦ τεθέντος συνδέοντος αὐτά, ἔταξεν ὁ δημιουργὸς ἐν μέσῳ μὲν τῆς γῆς καὶ τοῦ ἀέρος ἐναντίων ὄντων τὸ ὕδωρ δοὺς αὐτῷ δύο ποιότητας, ψυχρότητα καὶ ὑγρότητα, καθ' ἃς ἠδύνατο τοῖς ἄκροις συναπτόμενον συνδεῖν αὐτά· τῷ μὲν γὰρ ψυχρῷ συνοικειοῦται τῇ γῇ· τῷ δὲ ὑγρῷ συνάπτεται τῷ ἀέρι· πάλιν μέσον τοῦ ὕδατος καὶ τοῦ πυρὸς ἐναντίων ὄντων καὶ αὐτῶν ἔταξε τὸν ἀέρα, τῇ μὲν ὑγρᾷ ποιότητι οἰκειούμενον τῷ ὕδατι, τῇ δὲ θέρμῃ τῷ πυρί· καὶ οὕτω τὰ ἐναντία συνῆψεν ἀλλήλοις διὰ μέσων τινῶν τῶν συνδούντων καὶ ἑαυτὰ καὶ τὰ συνδούμενα. ὁ γὰρ τοιοῦτος δεσμὸς ἄριστός ἐστιν. ἕκαστον οὖν αὐτῶν καὶ μὲν τὴν ἑτέραν ποιότητα συνῆψε τῷ πρὸ αὐτοῦ, καὶ δὲ τὴν ἑτέραν τῷ μετ' αὐτό· οἷον τὸ ὕδωρ ψυχρόν ἐστι καὶ ὑγρόν· ἀλλὰ καὶ μὲν τὸ ψυχρὸν τῇ γῇ συνάπτεται διὰ τὸ πρὸ αὐτοῦ, καὶ τὴν ἀνοδον· καὶ δὲ τὸ ὑγρὸν τῷ ἀέρι ὄντι μετ' αὐτό. ὁμοίως καὶ ὁ ἀὴρ καὶ μὲν τὸ ὑγρὸν συνάπτεται τῷ ὕδατι πρὸ αὐτοῦ ὄντι· κατὰ δὲ τὸ θερμὸν τῷ πυρὶ ὄντι μετ' αὐτό. ὁμοίως καὶ ὁ ἀὴρ, καὶ μὲν τὸ ὑγρὸν συνάπτεται τῷ ὕδατι πρὸ αὐτοῦ ὄντι· καὶ δὲ τὸ θερμὸν τῷ πυρὶ ὄντι μετ' αὐτό. καὶ τὸ πῦρ δὲ καὶ μὲν τὴν θερμότητα συνάπτεται τῷ ἀέρι πρὸ αὐτοῦ ὄντι καὶ δὲ τὴν ξηρότητα τῇ γῇ κατ' ἐπίκλασιν καὶ ὑπερφυῆ τὴν πρὸς τὸ ἄκρον· οὕτω δὲ καὶ ἡ γῆ καὶ μὲν τὸ ψυχρὸν τῷ ὕδατι, καὶ δὲ τὸ ξηρὸν τῷ πυρὶ κατ' ἐπίκλασιν. ἵνα γὰρ μὴ μόνον τὴν πρὸς τὸ ἄνω καὶ τὸ κάτω

κάθοδόντε ἢ ἄνοδον τ' ὄχεσιν ἔχῃ τὰ στοιχεῖα, ἀλλὰ ἢ τὴν ἢ κύκλον. ἐπέκαμψέ πως ἢ ἐστρεψε τὰ ἄκρα πρὸς ἄλληλα· λέγω δὲ τὸ πῦρ καὶ τὴν γῆν· καὶ γὰρ τὸ πῦρ ἀποβαλὸν τὴν θερμότητα μόνιμον γίνεται γῆ· τοῦτο δὲ δῆλον ἐπὶ τῆς κεραυνῶν· καταφερόμενον γὰρ τὸ πῦρ ἢ ψυχόμενον ἐπ' ὑπεροπλίσεως ἀπολιθοῦται. διὸ πᾶς κεραυνὸς μετὰ λίθου ἢ θείου φέρεται· ἔστι δὲ τὸ θεῖον ὥσπερ πῦρ ἀνεψυγμένον οὐκ ἔτι θερμὸν κατ' ἐνέργειαν, ἀλλὰ δυνάμει· ξηρὸν δὲ ἢ ἐνεργείᾳ. μόνα δὲ τὰ στοιχεῖα κατ' ἐνέργειαν ἔχει τὰς ποιότητας· τὰ δὲ ἄλλα πάντα δυνάμει ἐὰν μὴ πλησιάσῃ στοιχείῳ. ἵνα δὲ μηδέποτε ἀπολίπῃ μήτε τὰ στοιχεῖα μήτε τὰ ἐξ αὐτῶν συγκρίματα, σοφῶς ὁ δημιουργὸς ἐτεχνάσατο, ὡς τε τὰ στοιχεῖα ἢ εἰς ἄλληλά τε μεταβάλλεσθαι, ἢ εἰς τὰ συγκρίματα, ἢ πάλιν τὰ συγκρίματα εἰς τὰ στοιχεῖα ἀναλύεσθαι· ἢ οὕτως ἐξ ἀλληλογονίας ἀφθάρτως συνίσ-

*πληθεῖσα ἀμβλυα σῴζεται διαπαντός. γῆ μὲν γὰρ * πληθεῖσα γίνεται ὕδωρ· ὕδωρ δὲ πυκνωθὲν ἢ πληθὲν γίνεται γῆ· θερμανθὲν δὲ ἢ ἐξατμισθὲν γίνεται ἀήρ· ἀὴρ δὲ σωανθεὶς μὲν ἢ πυκνωθεὶς γίνεται ὕδωρ· ξηρανθεὶς δὲ εἰς πῦρ μεταβάλλεται· οὕτω δὲ ἢ τὸ πῦρ σβεσθὲν μὲν ἢ ἀποβαλὸν τὴν ξηρότητα ἐξαιρεῖται· ἔστι γὰρ ἀὴρ σβέσις πυρὸς ἢ ἀτμὶς ὕδατος θερμανθέντος ἐξ ἀμφοτέρων οὖν δῆλον ὡς ἐπὶ θερμότητος ἡ γένεσις αὐτῷ· ἢ γὰρ θερμανθὲν τὸ ὕδωρ, καὶ σβεσθὲν τὸ πῦρ ἀὴρ γίνεται. ἔστι μὲν οὖν ἢ κατὰ τὴν οἰκείαν φύσιν θερμὸς·

θερμὸς· ψύχεται δὲ τῇ πρὸς τὸ ὕδωρ γλισχάζει, καὶ τῇ πρὸς τὴν γῆν· ὡς τὰ μὲν κάτω μέρη αὐτοῦ τὰ πρὸς τῇ γῇ ψυχρὰ εἶναι· τὰ δὲ ἄνω ἢ πρὸς τὸ πῦρ θερμά· συμβαίνει δὲ τοῦτο διὰ τὸ μαλακὸν ἢ εὐπαθὲς τοῦ ἀέρος· ταχέως γὰρ ἐξίσταται τ' οἰκείας φύσεως ἢ μεταβάλλεται. Ἀριστοτέλης δὲ δύο φύσεις εἶναι τοῦ ἀέρος φησὶ· τὸ μὲν ἀτμῶδες τὸ ἐκ τῆς ἀναθυμιάσεως τοῦ ὕδατος· τὸ δὲ καπνῶδες τὸ ἐκ τῆς σβέσεως τοῦ πυρός· ἢ τὸ μὲν καπνῶδες, θερμὸν εἶναι· τὸ δὲ ἀτμῶδες, ἔνθα μὲν τίκτεται θερμὸν ἢ αὐτὸ, προϊὸν δὲ κατὰ μέρος ψύχεσθαι ἢ περικόπτον ἐξυδατοῦσθαι· ἵνα δὲ καὶ ἄλλα τινὰ δοκοῦντα εἶναι ἄτοπα ἐκφεύγῃ, ἢ πρὸς τούτοις τὸ τὰ ὑψηλότερα ἢ πολὺ τῆς γῆς ἀφεστῶτα ψυχρότερα φαίνεσθαι, διττὴν ὑποτίθεται τὴν φύσιν αὐτοῦ· πάντα δὲ τὰ σώματα τὴν γένεσιν ἐκ τοῦ συνόδου τῶν τεσσάρων τούτων στοιχείων ἔχει τά τε τῶν φυτῶν ἢ τῶν ζώων· τῆς φύσεως τὰ καθαρώτατα τῶν στοιχείων εἰς τὴν γένεσιν τούτων τῶν σωμάτων ἐληλύθασι· καλεῖ δὲ ταῦτα τὰ σώματα Ἀριστοτέλης φυσικά· οὐ κατὰ σωρείαν συνιστημένων αὐτῶν, ἀλλ' ὅλων δι' ὅλου εἰς ἕνωσιν ἀνακιρναμένων, ἢ ἕν τι καὶ ἄλλο παρ' αὐτὰ ποιούντων τὸ σῶμα· οὕτω γὰρ ἥνωται ὡς μὴ ῥᾴδιόν τε εἶναι διακρίναι αὐτά· μὴ δὲ ἰδία μὲν θεάσασθαι τὴν γῆν, ἰδίᾳ δὲ τὸ ὕδωρ ἢ τὸν ἀέρα ἢ τὸ πῦρ τῷ ἕν τι καὶ ἄλλο παρὰ ταῦτα ἐκ τῆς συνόδου τῷ δ' γεγυμνῶσθαι· ὡς ἐπὶ τῆς τετραφαρμάκου, ἢ γὰρ ἐκεῖ

ἀλλο ἢ τετραφάρμακος παρὰ τὰ ἐξ ὧν σύγκειται· οὐχ ὁμοίως μέντοι· ἐν γὰρ καὶ παράθεσιν τῶν λεπτομερεστάτων ὡς ἐν τῇ τετραφαρμάκῳ τὰ στοιχεῖα ποιεῖ τὰ σώματα, ἀλλὰ καὶ μεταβολὴν καὶ ἑνότητα· πάλιν δὲ εἰς τὰ στοιχεῖα ἀναλύεται τὰ σώματα· καὶ τούτῳ τῷ τρόπῳ διαμένει διϊωκότως τὰ πάντα, καὶ ἀρκεῖ πρὸς τὴν τῶν ὄντων γένεσιν, μήτε πλεοναζοντα ποτὲ, μήτε μουμμυα ὄθεν καὶ τὴν ἄλλως γένεσιν, ἄλλου φθορὰν εἶναι φασὶ καὶ τὴν ἄλλου φθορὰν, ἄλλου γένεσιν, οὐ μόνον καὶ τὴν ψυχὴν ὡς πρεσείρη), ἀλλὰ καὶ καὶ τὸ σῶμα. Πλάτωνι δὲ δοκεῖ, τὰ μὲν ξία στοιχεῖα μεταβάλλειν εἰς ἄλληλα, τὴν δὲ γῆν ἀμετάβλητον μένειν· ἀπεικάζων γὰρ ἑπάστῳ στοιχείῳ τὰ τετρεύματα τῶν ἐυθυγράμμων σχημάτων, τῇ μὲν γῇ τὸ κυβικὸν σχῆμα· ἑπτεδὴ ἀκινητότατον ἐστὶ τῶν λοιπῶν. ὕδατι δὲ τῶν λοιπῶν τὸ δυσκινητότατον τὸ εἰκοσάεδρον, τὸ δὲ εὐκινητότατον τὸ πυραμοειδὲς τῷ πυρὶ, τὸ δὲ ὀκτάεδρον τῷ ἀέρι· ὅπερ ἐστὶν εὐκινητότερον μὲν ὕδατος, δυσκινητότερον δὲ πυρὸς· ἐκ τούτων τῶν σχημάτων ποιεῖ) τὴν ἀπόδειξιν, τὰ τὰ μὲν ξία εἰς ἄλληλα μεταβάλλεσθαι, τὴν δὲ γῆν τοῦτο μὴ πάσχειν· τὰ μὲν γὰρ ξία τήν τε πυραμίδα καὶ τὸ ὀκτάεδρον καὶ τὸ εἰκοσάεδρον ἐκ σκαληνῶν ξιγώνων συνίστασθαι, τὸν δὲ κύβον ἐξ ἰσοπλεύρων ξιγώνων. ὅσα τοίνυν ἐκ τῶν σκαληνῶν ξιγώνων συνέστηκε, ταῦτα δύναται διαλύεσθαι, καὶ πάλιν συνίστασθαι εἰς ἄλληλα μεταβάλλεσθαι. οὐ μὴν

μὴν καὶ τὸν κύβον διαλυθέντα εἰς τὰ ἄλλων ξιῶν σχημάτων δύνασθαι μεταβάλλειν· ἐξ ἰσοπλεύρων γὰρ ξιγώνων συνέστηκεν, ἐξ ὧν οὐδὲν τῶν ἄλλων ξιῶν συνῆναι δύναται· μήτ' αὖτι τῶν ξιῶν σχημάτων εἰς κύβον. ἀνάγκη οὖν καὶ τὰ εἰδοποιηθέντα σώματα καὶ τὰ εἴδη ταῦτα, οὕτως ἔχειν πρὸς ἄλληλα ὡς ἐκεῖνα εἶχεν. οὐ μὲν ἀπαθὴς ἔμεινεν ἡ γῆ, ἀλλὰ διαιρεῖται ὑπὸ τῶν λεπτομερεστέρων σωμάτων ἀνασοιχειουμένη μὲν, οὐ μὴν καὶ μεταβαλλομένη εἰς τὰ διαιροῦντα αὐτήν· πάλιν γὰρ συνιᾶσα εἰς ἑαυτὴν ἀποκαθίσταται, ὅπερ φαίνεται ἐν τῷ ὕδατι· ἐὰν γὰρ εἰς ὕδωρ γῆν ὀλίγην βαλὼν ταράξῃς, διαλύεται εἰς ὕδωρ ἡ γῆ· ἐὰν δὲ παύσῃ ταράττων, λαβόντες σάσιν τὸ ὕδατος ὑφιζάνει· τὸν αὐτὸν τρόπον καὶ ἐπὶ πάσης τῆς γῆς δεῖ νοεῖν. οὐκ ἔστι δὲ τοῦτο μεταβολὴ, ἀλλὰ διάκρισις τῶν μεμιγμένων· λέγει δὲ ὁ Πλάτων καὶ ὑπὸ τῆς ὀξύτητος τοῦ πυρὸς λύεσθαι τὴν γῆν· ἡ δὲ λυθεῖσα φέρεται ἐν αὐτῷ ἢ ἐν ἀέρος ὄγκῳ, δηλονότι ὅταν ὁ ἀὴρ αὐτὴν διαλύσῃ, ἢ ἐν ὕδατι ὅταν ἐφ' ὕδατος λυθῇ· λέγει δὲ καὶ κατ' ἄλλον τρόπον διαίρων, ἕκαστον τῶν στοιχείων τρεῖς ποιότητας ἔχειν· τὸ μὲν πῦρ ὀξύτητα· μανότητα κίνησιν· τὸ δὲ ἕτερον ἄκρον τῶν στοιχείων, τετάσι τὴν γῆν ἀμβλύτητα, πυκνότητα, φασὶν· ὡς εἶναι κατὰ ταύτας τὰς ποιότητας ἐναντία τὴν γῆν καὶ τὸ πῦρ. ὅπερ οὐκ ἦν καὶ τὰς ἄλλας τὰς ἐν συζυγίᾳ ποιότητας, ἐιλῆφθαι δὲ ἀφ' ἑκατέρων τῶν ἄκρων ποιότητας, καὶ

οὕτως τὰ μέσα στοιχεῖα γεγυῆσθαι· λαμβάνονται γὰρ τῶν μὲν πυρὸς δύο ποιότητες ἥ τε μανότης καὶ ἡ κίνησις· μία δὲ τῆς γῆς ἡ ἀμβλύτης, καὶ συνίστασθαι ὁ ἀὴρ εἰδοποιὸς ἔχων ποιότητας ἀμβλύτητα, μανότητα, κίνησιν· πάλιν βλαμβάνονται ποιότητες τῆς γῆς, ἀμβλύτης καὶ πυκνότης. τοῦ δὲ πυρὸς, μία μόνη ἡ κίνησις· καὶ γίνεται τὸ ὕδωρ εἰδοποιούμενον καὶ αὐτὸ ἀμβλύτητι, πυκνότητι, κινήσει· ἔστιν οὖν ὡς ὀξύτης πρὸς ἀμβλύτητα, οὕτω πῦρ πρὸς ἀέρα. ὡς δὲ μανότης πρὸς πυκνότητα, οὕτως ἀὴρ πρὸς ὕδωρ· ὡς δὲ κίνησις πρὸς στάσιν, οὕτως ὕδωρ πρὸς γῆν. ὡς ἄρα πῦρ πρὸς ἀέρα, οὕτως ἀὴρ πρὸς ὕδωρ· καὶ ὡς ἀὴρ πρὸς ὕδωρ, οὕτως ὕδωρ πρὸς γῆν. πέφυκε γὰρ τὰ μὲν ἐπίπεδα ὑπὸ μιᾶς μεσότητος συνέχεσθαι, τετάρτην ἀναλογίας· τὰ δὲ στερεὰ ὑπὸ δύο μεσοτήτων, κατ' ἄλλον δὲ ἕξοπον λέγεσι ποιότητας ἔχειν τὰ στοιχεῖα, τὴν μὲν γὰρ γῆν καὶ τὸ ὕδωρ βαρύτητα ἔχειν, καθ' ἣν κάτω φύσει φέρονται, τὸν δὲ ἀέρα καὶ τὸ πῦρ κουφότητα, καθ' ἣν ἄνω φύσει φέρονται· λέγουσι δὲ οἱ σταϊκοὶ τῶν στοιχείων τὰ μὲν εἶναι δραστικὰ, τὰ δὲ παθητικά· δραστικὰ μὲν ἀέρα καὶ πῦρ· παθητικὰ δὲ γῆν καὶ ὕδωρ. Ἀριστοτέλης δὲ καὶ πέμπτον εἰσάγει σῶμα τὸ αἰθέριον καὶ κυκλοφορικὸν, μὴ βουλόμενος τὸν οὐρανὸν ἐκ τῶν τεττάρων στοιχείων γεγυῆσθαι· κυκλοφορικὸν δὲ λέγει τὸ πέμπτον σῶμα, ὅτι ἐν κύκλῳ περὶ τὴν γῆν φέρεται τῷ Πλάτωνος διαρρήδην φάσκοντος ἐκ πυρὸς καὶ

καὶ γῆς ἅπαν σωμα συνεστάναι· λέγει γοῦν οὕτως. σῶμα-
τοειδὲς καὶ ὁρατὸν, ἁπτόν τε δεῖ τὸ γενόμενον εἶναι,
χωρὶς δὲ πυρὸς οὐδὲν ἂν ποτὲ ὁρατὸν γένοιτο. οὐδὲ
ἁπτὸν ἄνευ τινὸς στερεοῦ, στερεὸν δὲ οὐκ ἄνευ γῆς· ὅθεν
ἐκ πυρὸς καὶ γῆς τὸ τοῦ παντὸς συνεστάναι σῶμα
ὁ Θεὸς ἀρχόμενος ἐποίει, δύο δὲ μόνα καλῶς συν-
ίστασθαι χωρὶς τρίτου χωρὶς, οὐ δυνατὸν· δεσμὸν γὰρ ἐν
μέσῳ δεῖ ἀμφοῖν συναγωγὸν γίνεσθαι· δεσμὸς δὲ
κάλλιστος ὃς ἂν ἑαυτὸν τε καὶ τὰ ξυνδούμενα ἓν
ποιῇ ὅτι μάλιστα, τοῦτο δὲ πέφυκεν ἀναλογία κάλ
λιστα ἀποτελεῖν· δεσμὸν λέγων τὰ μέσα δύο στοι-
χεῖα ἐξ ἀναλογίας εἰλημμένα τῶν προρρηθείσης. οἱ
δὲ τὰ τῶν Ἑβραίων θρησκεύοντες διαφέρουσι περὶ τῆς
ἁρμονίας τῆς γῆς· οἱ μὲν γὰρ ἄλλοι κεῖσθαι πάντες, ἐξ
ἀδιαιρέτου προϋποκειμένης ὕλης φάσκουσι γεγυῆσθαι
τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἀπολινάριος δὲ ἐκ τῆς
ἀβύσσου πεποιηκέναι τὸν Θεὸν τὸν οὐρανὸν καὶ τὴν
γῆν βέλεται· τῆς γὰρ ἀβύσσου Μωσῆς οὐκ ἐμνη-
μόνευσεν ἐν τῇ γενέσει τοῦ κόσμου ὡς γεγυημένης·
ἐν δὲ τῷ Ἰὼβ εἴρηται ὁ ποιήσας τὴν ἄβυσσον. ἐκ
ταύτης οὖν ὡς ἐξ ὕλης βέλεσθαι τὰ ἄλλα πάντα
γεγυῆσθαι· οὐ μὴν ἀγέννητον, ἀλλὰ γενητὴν εἶναι αὐ-
τὴν πρὸ πάντων τῶν σωματικῶν προκαταβεβλη-
μένην ὑπὸ τοῦ δημιουργοῦ πρὸς τὴν τῶν ἄλλων
ὑπόστασιν· δηλοῖ δὲ μὴ τέκνωμα τῆς ἀβύσσου τὸ τῆς
ὕλης ἄπειρον, ἀλλὰ τοῦτο μὲν ὅπως ἂν ἔχοι, οὐδὲν
διαφέροι· καὶ γὰρ οὕτως πάντων ὁ Θεὸς μὴ δημιουρ-

γὸς δείκνυσι, ἢ ἐξ ὄντων πεποιηκὼς τὰ πάντα· πρὸς δὲ τοὺς ἓν μόνον λέγοντας εἶναι στοιχεῖον, ἢ τὸ πῦρ, ἢ τὸν ἀέρα, ἢ τὸ ὕδωρ, ἀρκέσει τὰ παρὰ Ἱπποκράτους εἰρημένα· εἰ ἓν ἦν ὁ ἄνθρωπος, οὐδέποτε ἂν ἤλγεεν· οὐ δὲ γε ἂν ἦν, ὑφ' οὗ ἀλγήσειεν ἓν ὤν, εἰ δὲ μὴ ἤλγεεν ἓν ἂν ἦν τὸ ἰώμενον· δεῖ γὰρ τὸ μέλλον ἀλγεῖν, ἐν μεταβολῇ γενέσθαι μετ' αἰσθήσεως· εἰ δὲ ἓν μόνον ἦν τὸ στοιχεῖον, οὐκ ἦν εἰς ὃ μεταβληθείη, μὴ ξεπόμενον δὲ, ἀλλὰ μένον ἐφ' ἑαυτῷ, οὐκ ἂν ἤλγησεν, εἰ μὴ αἰσθητὸν ἦν· ἀνάγκη δὲ μὴ τὸ πάσχον ὑπό τινος πάσχειν. εἰ δὲ μόνον ἓν ἦν τὸ στοιχεῖον, οὐκ ἦν ἂν ἑτέρα ποιότης παρὰ τὴν τοῦ ἑνὸς στοιχείου, ὑφ' ἧς ἔπαθεν ἂν τὸ ζῷον· εἰ δὲ μήτε μεταβληθῆναι μήτε παθεῖν ἠδύνατο, πῶς ἂν ἤλγησε; δείξας οὖν τοῦτο ἀδύνατον, κατὰ συγχώρησιν ἐπάγει. εἰ δὲ καὶ ἤλγεεν ἓν ἂν ἦν τὸ ἰώμενον, νῦν δὲ οὐκ ἔστιν ἓν τὸ ἰώμενον, ἀλλὰ πολλά· οὐκ ἄρα ἓν ἦν ὁ ἄνθρωπος, ἀλλὰ μὴ ἐξ ὧν αὐτοὶ πειρῶνται τὸ ἴδιον ἕκαστος κατασκευάζειν δόγμα, ἐκ τούτων μάλιστα δείκνυσι δ' ὄντα στοιχεῖα· καὶ γὰρ Θαλῆς τὸ ὕδωρ μόνον λέγων εἶναι στοιχεῖον, πειρᾶται δεικνύειν τ' ἄλλα ξύλα ἀπὸ τούτου γινόμενα· τὴν μὲν γὰρ ὑγρὸς ἀθμὸν αὖτις γῆν γίνεσθαι· τὸ δὲ λεπτομερέστερον ἀέρα, τὸ δὲ ἀέρος τὸ λεπτομερέστερον πῦρ· Ἀναξιμένης δὲ ἀέρα μόνον λέγων, ἢ αὐτὸς ὁμοίως φράζει δείκνυναι τὰ ἄλλα στοιχεῖα ἐκ τοῦ ἀέρος ἀποτελέμενα. Ἡράκλειτος δὲ ἢ Ἵππαρχος ὁ μεταποντίνος

τίνος τὸ πῦρ λέγοντες, ταῖς αὐταῖς ταύταις ἀποδείξεσι κέχρηνται, ἐξ ὧν οὗτοι φασὶ τὸ πῦρ εἶναι τῆς ἄλλων στοιχείων γεννητικὸν, καὶ τῆς ἄλλων ὁ μὲν τὸ ὕδωρ, ὁ δὲ τὸν ἀέρα, ἐκ τούτων δείκνυσι· ὅτι πάντα τὰ στοιχεῖα εἰς ἄλληλα μεταβάλλεται· πάντων δὲ εἰς ἄλληλα ξεπομένων ἀνάγκη στοιχεῖα τὰ πάντα εἶναι. ὅπερ γὰρ ἂν λάβῃς τῶν τεσσάρων, εὑρεθήσεται ἢ τοῦτο ὑφ' ἑτέρου γινόμενον· τὸ δὲ σῶμα τῆς ψυχῆς ὄργανον ὑπάρχον, ταῖς ψυχικαῖς δυνάμεσι συνδιαιρεῖται· ταύταις γὰρ πρὸς φορόντε καὶ ὀπτικὸν κατεσκεύασται· πρὸς τὸ μηδεμίαν αὐτῆς δύναμιν ὑπὸ τοῦ σώματος ἐμποδίζεσθαι· ἐκ ἴσης γὰρ ψυχικῇ δυνάμει πρὸς τὴν ἐνέργειαν ἴδια μέρη τοῦ σώματος ἀποκεκλήρωται, ὡς προϊὼν ὁ λόγος ἀποδείξει. ἡ μὲν γὰρ ψυχὴ τάξιν ἐπέχει τεχνίτου, τὸ δὲ σῶμα ὀργάνου, ὕλη δέ ἐστι περὶ ἣν ἡ πρᾶξις· τὸ δὲ ἀποτέλεσμα ἡ πρᾶξις αὐτή. οἷον ὡς ὕλη μὲν ὑπόκειται, ἡ γυνὴ περὶ ταύτην γὰρ ἡ πρᾶξις. ἡ δὲ πρᾶξις μοιχεία, ἢ πορνεία, ἢ γάμος. διαιροῦνται δὲ αἱ ψυχικαὶ δυνάμεις εἴς τε τὸ φαντασικὸν καὶ διανοητικὸν καὶ μνημονευτικόν.

ΠΕΡΙ ΤΟΥ ΦΑΝΤΑΣΤΙΚΟΥ. ΚΕΦ. ε.

ΦΑΝΤΑΣΤΙΚΟΝ μὲν ἔν ἐστι δύναμις τῆς ἀλόγου ψυχῆς διὰ τῆς αἰσθητηρίων ἐνεργοῦσα· φανταστὸν δὲ τὸ τῇ φαντασίᾳ ὑποπίπτον, ὡς αἰσθήσει αἰσθητόν· φαντασία δέ ἐστι πάθος τῆς ἀλόγου ψυχῆς ὑπὸ φαντασθέντος τινὸς γινόμενον· φάντασμα δὲ

πάθος

πάθος διάκενον ἐν τοῖς ἀλόγοις τῆς ψυχῆς μέρεσιν ὑπ' οὐδενὸς φανταστοῦ γινόμενον· οἱ δὲ στωικοὶ τέσσαρα ταῦτα φασὶ· φαντασία, φάντασμα, φαντασίαν μὲν λέγοντες τὸ πάθος τῆς ψυχῆς τὸ ἐνδεικνύμενον αὐτό, τε καὶ τὸ πεποιηκὸς φαντασθὸν. ὅταν γὰρ λευκὸν ἴδωμεν, ἐγγίνεταί τι πάθος τῇ ψυχῇ ἀπὸ τῆς λήψεως αὐτοῦ. ὡς γὰρ ἐν τοῖς αἰσθητηρίοις ἐγγίνεται πάθος, ὅταν αἰσθάνηται, οὕτω καὶ ἐν τῇ ψυχῇ· ὅταν ἐννοήσῃ. εἰκόνα γὰρ ἐν ἑαυτῇ δέχεται τοῦ νοητοῦ· φαντασθὸν δὲ τὸ πεποιηκὸς τὴν φαντασίαν αἰσθητὸν, οἷόν τι λευκὸν ἢ πᾶν ὅτι δύναται κινεῖν τὴν ψυχήν. φαντασικὸν δὲ τὸν διάκενον διελκυσμὸν ἄνευ φαντασθοῦ· φάντασμα δὲ * ᾧ ἐφελκόμεθα καὶ τὸ φαντασικὸν διάκενον ἑλκυσμόν. ὡς ἐπὶ τῶν μεμηνότων καὶ μελαγχολώντων, ἡ δὲ διαφωνία τέτοις περὶ τὴν ἐναλλαγὴν μόνων γέγονε τῶν ὀνομάτων, ὄργανα δὲ αὐτοῦ αἱ προσθιοι τοῦ ἐγκεφάλου κοιλίαι, καὶ τὸ ἐν αὐταῖς ψυχικὸν πνεῦμα, καὶ τὰ ἐξ αὐτοῦ νεῦρα τὰ διάβροχα τοῦ ψυχικοῦ πνεύματος· καὶ ἡ κατασκευὴ τῶν αἰσθητηρίων. ἔστι δὲ αἰσθητήρια ε'. αἴσθησις δὲ μία, ἡ ψυχὴ ἡ γνωρίζουσα διὰ τῶν αἰσθητηρίων, τὰ ἐν αὐτοῖς γινόμενα πάθη, καὶ τῶν μὲν χωδεστάτῳ καὶ σωματικωτάτῳ τῶν αἰσθητηρίων ὅπερ ἐστὶν ἡ ἁφὴ τῆς γεώδους φύσεως αἰσθάνεται. τῶν δὲ αὐγοειδεστάτῳ ὅπερ ἐστὶν ἡ ὄψις τῶν αὐγοειδῶν. ὡς καὶ τῶν ἀεροειδεῖ τῶν ἀέρος παθημάτων· ἀὴρ γὰρ ἐστὶν ἡ τῆς

* ὃ ἐφελκόμεθα

φωνῆς οὐσία ἡ ἀέρος πληγὴ· καὶ τῶν ἀκοητοειδεῖ δὲ καὶ ὑδατοειδεῖ τῶν καὶ τὴν γεῦσιν τὸ χυμῶν ἀντιλαμβάνεται. ἕκαστον γὰρ τῶν αἰσθητῶν διὰ τοῦ οἰκείου γνωρίζεσθαι πέφυκεν. ἔδει τοίνυν καὶ τοῦτον τὸν λόγον ἐπεισελθεῖν· στοιχεῖα, τέσσαρας εἶναι καὶ τὰς αἰσθήσεις· ἀλλ' ἐπεισελήλυθεν ὁ ἀτμὸς καὶ τὸ τῶν ὀσμῶν γένος μεταξὺ τὴν φύσιν ἐστὶν ἀέρος καὶ ὕδατος· ἀέρος μὲν γὰρ ὄζει παχυμερέστερος, ὑδατος δὲ λεπτομερέστερος, δῆλον δὲ γίνεται τοῦτο διὰ τῶν κορύζης τοῦ πάθους. οἱ γὰρ κορυζῶντες ἕλκουσι μὲν τὸν ἀέρα διὰ τῆς ἀναπνοῆς· ἕλκοντες δὲ τοῦτον, τὸν ἀτμὸν οὐκ ἀντιλαμβάνονται· διὰ γὰρ τὴν ἔμφραξιν τὸ παχυμερέστερον οὐκ ἀφικνεῖται πρὸς τὴν αἴσθησιν, τούτου χάριν πρέμπον αἰσθητήριον ἡ ὄσφρησις ὑπὸ τῆς φύσεως ἐξεύρηται, ἵνα μηδὲν τῶν δυναμένων εἰς γνῶσιν ἐλθεῖν διαφύγῃ τὴν αἴσθησιν· ἔστι δὲ ἡ αἴσθησις οὐκ ἀλλοίωσις, ἀλλὰ διάγνωσις ἀλλοιώσεως. ἀλλοιοῦται μὲν γὰρ τὰ αἰσθητήρια, διακρίνει δὲ τὴν ἀλλοίωσιν ἡ αἴσθησις, καλεῖται δὲ πολλάκις αἴσθησις καὶ τὰ αἰσθητήρια· ἔστι δὲ αἴσθησις ἀντίληψις τῶν αἰσθητῶν· δοκεῖ δὲ οὗτος ὁ ὅρος οὐκ αὐτῆς εἶναι τῆς αἰσθήσεως, ἀλλὰ τῶν ἔργων αὐτοῦ· διὸ καὶ οὕτως ὁρίζονται τὴν αἴσθησιν, πνεῦμα νοερὸν ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα τεταμένον. ἔτι δὲ καὶ οὕτως δύναμις ψυχῆς ἀντιληπτικὴ τῶν αἰσθητῶν, αἰσθητήριον δὲ ὄργανον τῆς ἀντιλήψεως τῶν αἰσθητῶν. Πλάτων δὲ τὴν αἴσθησιν λέγει ψυχῆς καὶ

καὶ σώματος κοινωνίαν πρὸς τὰ ἐκτὸς. ἡ γὰρ δύναμις, ψυχῆς· τὸ δὲ ὄργανον, σώματος, ἄμφω δὲ διὰ φαντασίαν ἀντιληπτικὰ τῶν ἔξωθεν, τῶν δὲ ψυχικῶν τὰ μέν ἐστιν ὑπουργητικά τε καὶ * δορυφορικὰ, τὰ δὲ ἀρχικὰ καὶ ἡγεμονικὰ, ἀρχικὰ μὲν, τό, τε διανοητικὸν καὶ ἐπιστημονικὸν, ὑπουργητικὰ δὲ τὰ αἰσθητικὰ καὶ ἡ καθ' ὁρμὴν κίνησις, καὶ τὸ φωνητικὸν. καὶ γὰρ ἡ κίνησις καὶ ἡ φωνὴ ὀξύτατα καὶ σχεδὸν ἀχρόνως ὑπακούει τῇ βουλήσει τοῦ λογισμοῦ· ἅμα γὰρ καὶ κατὰ τὸ αὐτὸ θέλομέν τε καὶ κινούμεθα οὐδενὸς ἐπιδεόμενοι μεταξὺ χρόνου τῆς τε βουλήσεως καὶ τῆς κινήσεως. ὡς ἐπὶ τῆς κινήσεως τῶν δακτύλων ἐστὶν ἰδεῖν, καὶ τῶν φυσικῶν δὲ ἔνια ὑπὸ τὴν ἡγεμονίαν ἐστὶν τοῦ διανοητικοῦ, ὡς τὰ καλούμενα πάθη.

* δορυαλωτικὰ

ΠΕΡΙ ΟΨΕΩΣ ΚΕΦ. Ζ.

Η ΟΨΙΣ ὁμωνύμως λέγεται, καὶ γὰρ τὸ αἰσθητήριον καὶ ἡ δύναμις ἡ αἰσθητικὴ· Ἱππαρχος δέ φησιν ἀκτίνας ἀπὸ τῶν ὀφθαλμῶν ἀποτεινομένας τοῖς περάσιν ἑαυτῶν, καθάπερ χειρῶν ἐπαφαῖς καθαπτούσαις τοῖς ἐκτὸς σώμασι, τὴν ἀντίληψιν αὐτῶν πρὸς τὸ ὁρατικὸν ἀναδιδόναι. οἱ δὲ γεωμέτραι κώνους τινὰς ἀναγράφουσιν ἐκ τῆς συνεμπτώσεως τῶν ἀκτίνων γινομένους τῶν ἐκπεμπομένων διὰ τῶν ὀφθαλμῶν· πέμπειν γὰρ ἀκτίνας τὸν μὲν δεξιὸν ὀφθαλμὸν ἐπὶ τὰ ἀριστερὰ, τὸν δὲ ἀριστερὸν ἐπὶ τὰ δεξιὰ. ἀπὸ δὲ τῆς συνεμπτώσεως αὐτῶν ἀποτελεῖσθαι κώνον, ὅθεν ὁμοῦ μὲν πολλὰ περιλαμβάνειν ὁρα

ὁρατὰ τὴν ὄψιν, βλέπειν δὲ ἀκριβῶς ἐκεῖνα, ἔνθα ἂν συνεμπέσωσιν αἱ ἀκτίνες. οὕτω γοῦν πολλάκις ὁρῶντες εἰς τοὔδαφος οὐχ' ὁρῶμεν τὸ ἐν αὐτῷ νόμισμα κείμενον, ἀτερίζοντες ἐπὶ πλεῖστον ἕως ἂν αἱ συμβολαὶ τῶν ἀκτίνων ἐν ἐκείνῳ γίνονται τῷ μέρει, ἔνθα κεῖται τὸ νόμισμα καὶ τό τε τῇ θέᾳ προσπίπτομεν αὐτοῦ, ὡς τό τε πρῶτον ἀρξάμενοι προσέχειν· οἱ δὲ ἐπικούρειοι εἴδωλα τῶν φαινομένων προσπίπτειν τοῖς ὀφθαλμοῖς, Αριστοτέλης δὲ οὐκ εἴδωλον σωματικὸν, ἀλλὰ ποιότητα δι' ἀλλοιώσεως τοῦ πέριξ ἀέρος ἀπὸ τῶν ὁρατῶν ἄχρι τῆς ὄψεως παραγίνεσθαι, Πλάτων δὲ κατὰ συναύγειαν τοῦ μὲν ἐκ τῶν ὀφθαλμῶν φωτὸς ἐπὶ ποσὸν ἀπορρέοντος εἰς τὸν ὁμοιογενῆ ἀέρα. τοῦ δὲ ἀπὸ τῶν σωμάτων ἀντιφερομένου, τοῦ δὲ περὶ τὸν μεταξὺ ἀέρα εὐδιάχυτον ὄντα καὶ εὔτρεπτον, συνεκτεινομένου τῷ πυροειδεῖ τῆς ὄψεως· Γαληνὸς δὲ συμφώνως Πλάτωνι περὶ τῆς ὄψεως ἐν τῷ ἑβδόμῳ τῆς συμφωνίας λέγει γράφων οὕτω πως σποράδην. εἴπερ γὰρ εἰς τὸν ὀφθαλμὸν ἀφικνοῖτο μοίρα τίς, ἢ δύναμις ἢ εἴδωλον ἢ ποιότης τῶν ὁρωμένων σωμάτων, οὐκ ἂν τῶν βλεπομένου τὸ μέγεθος ἔγνωμεν, οἷον ὄρους, εἰ τύχοι, μεγίστου. τηλικούτου γὰρ εἴδωλον ἐμπίπτειν τοῖς ὀφθαλμοῖς ἡμῶν παντάπασιν ἄλογον· ἀλλὰ μὴν καὶ τὸ πνεῦμα τὸ ὀπτικὸν οὐχ' οἷόν τε τοσαύτην ἰσχὺν ἐκκρινόμενον λαμβάνειν, ὡς περιχεῖσθαι παντὶ τῷ βλεπομένῳ. λείπεται οὖν τὸν περίξ ἀέρα τοιοῦτον ὄργανον ἡμῖν γίνεσθαι

ἀτενίζοντες

,, γίνεσθαι καθ' ὃν ἐρῶμεν χρόνον ὁ ποῖον ἐν τῷ σώ-
,, ματι τὸ νεῦρον ὑπάρχει τὸ ὀπτικὸν. τοιοῦτον γάρ τι
,, πάσχειν ἔοικεν ὁ περιέχων ἡμᾶς ἀὴρ· ἥ, τε γὰρ αὐτὴ
,, τοῦ ἡλίου ψαύουσα τοῦ ἄνω πέρατος τοῦ ἀέρος, δια-
,, δίδωσιν εἰς ὅλην τὴν δύναμιν· ἥ, τε διὰ τῶν ὀπτικῶν
,, νεύρων αὐγὴ φερομένη τὴν μὲν οὐσίαν ἔχει πνευμα-
,, τικὴν. ἐμπίπτουσα δὲ τῷ περιέχοντι, καὶ τῇ πρώτῃ
,, προσβολῇ τὴν ἀλλοίωσιν ἐργαζομένη διαδίδωσιν
,, ἄχρι πλείστου συνέχουσα ἑαυτὴν, ἄχρις ἂν εἰς ἀντι-
,, τυπὲς ἐμπέσῃ σῶμα. γίνεται γὰρ ὁ ἀὴρ ὄργανον τῷ
,, ὀφθαλμῷ πρὸς τὴν τῶν ὁρωμένων διάγνωσιν τοιοῦ-
,, τον· οἷόνπερ ἐγκεφάλῳ τὸ νεῦρον. ὥς τε ὃν ἔχει λό-
,, γον ἐγκέφαλος πρὸς τὸν νεῦρον τοῦτον ἔχειν τὸν ὀφ-
,, θαλμὸν πρὸς τὸν ἀέρα ἐψυχωμένον ὑπὸ τῆς ἡλια-
,, κῆς αὐγῆς. ὅτι δὲ πέφυκεν ὁ ἀὴρ τοῖς πλησιάζουσι
σώμασι συνεξομοιοῦσθαι, δῆλον ἐκ τοῦ καὶ πυῤῥοῦ τι-
νὸς ἢ κυανοῦ ἢ καὶ ἀργυροῦ λαμπροῦ διαφερομένου
φωτὸς ὄντος ὑπὸ τοῦ διενεχθέντος ἀλλοιοῦσθαι τὸν
ἀέρα. Πορφύριος δὲ ἐν τῷ περὶ αἰσθήσεως οὔτε κῶ-
νον, οὔτε εἴδωλον, οὔτε ἄλλότι φησὶν αἴτιον εἶναι τοῦ
ὁρᾶν, ἀλλὰ τὴν ψυχὴν αὐτὴν ἐντυγχάνουσαν τοῖς
ὁρατοῖς ἐπιγινώσκειν ἑαυτὴν οὖσαν τὰ ὁρατὰ, τῷ τῶν
ψυχὴν συνέχειν πάντα τὰ ὄντα, καὶ εἶναι τὰ πάν-
τα ψυχὴν συνέχουσαν σώματα διάφορα· μίαν γὰρ
βουλόμενος εἶναι πάντων ψυχὴν τὴν λογικὴν, εἰ-
κότως φησὶ γνωρίζειν ἑαυτὴν ἐν πᾶσι τοῖς οὖσιν.
ὁρᾷ δὲ ἡ ὄψις κατ' εὐθείας γραμμὰς, αἰσθάνεται
δὲ

δὲ καὶ πρῶτον μὲν λόγον τῶν χρωμάτων. συνδια-
γινώσκει δὲ αὐτοῖς καὶ τὸ κεχρωσμένον σῶμα καὶ τὸ
μέγεθος αὐτοῦ, καὶ τὸ σχῆμα καὶ τὴν χώραν· ἔνθα ἐστὶ
καὶ τὸ διάστημα, καὶ τὸν ἀριθμὸν κίνησίν τε καὶ στάσιν
καὶ τὸ τραχὺ καὶ λεῖον καὶ ὁμαλὸν καὶ ἀνώμαλον καὶ
τὸ ὀξὺ καὶ τὸ ἀμβλὺ καὶ τὴν σύστασιν, εἴτε ὑδατῶδες,
εἴτε γεῶδες ἐστὶν, οἷον ὑγρὸν ἢ ξηρὸν· τὸ μὲν οὖν ἴδιον
αὐτῆς αἰσθητόν ἐστι τὸ χρῶμα· διὰ μόνης γὰρ τῆς
ὄψεως τῶν χρωμάτων ἀντιλαμβανόμεθα· εὐθέως
δὲ σὺν τῷ χρώματι καὶ τὸ κεχρωσμένον σῶμα καὶ
τὸν τόπον ἐν ᾧ τυγχάνει ὂν τὸ ὁρώμενον καὶ τὸ διά-
στημα τὸ μεταξὺ τοῦτε ὁρῶντος καὶ τῶν ὁρωμένου. ὁπό-
σαις γὰρ τῶν αἰσθήσεων συνεμφαίνεται καὶ τὸ σῶ-
μα, ταύταις εὐθέως καὶ ὁ τόπος συνδιαγινώσκει)
ὡς τῇ ἁφῇ καὶ τῇ γεύσει, ἀλλ' αὗται μὲν τότε μόνον
ὅταν προσπελάσωσι τῷ σώματι αἰσθάνον) πλὴν
τῶν ἑξῆς διορισθησομένων, ὄψις δὲ καὶ πόῤῥωθεν,
ἐπεὶ δὲ πόῤῥωθεν ἀντιλαμβάνεται τῶν ἰδίων αἰσθη-
τῶν, ἀναγκαίως ἐπηκολούθησε τὸ μόνην ὁρᾶν καὶ τὸ
διάστημα. τὸ δὲ μέγεθος τότε μόνη διαγινώσκει,
ὅταν τὸ φαινόμενον δύναται διὰ μιᾶς προσβολῆς
περιλαβεῖν, ἐν οἷς δὲ μεῖζον ἐστὶ τὸ ὁρώμενον, ἢ καὶ
μίαν προσβολὴν περιλαμβάνεσθαι, ἐν τούτοις ἡ ὄψις
δεῖται καὶ τῆς μνήμης καὶ τῆς διανοίας. καὶ μέρος γὰρ
αὐτὰ θεωμένη καὶ οὐχ' ὑφ' ἓν ὅλον, ἀναγκαίως εἰς
ἕτερον ἀφ' ἑτέρου μεταβαίνει, καὶ τὸ μὲν ἐμπίπτον
ἀεὶ καὶ τὴν μετάβασιν, αἰσθητόν ἐστι. τὰ δὲ ἔμ-
F προσθεν

προσθεν ἑωραμένα ἡ μνήμη διαφυλάττει. σωμάτων δὲ ἀμφότερα ἡ διάνοια τό τε αἰσθητὸν καὶ μνημονευτόν. τὸ μὲν οὖν μεγέθους διχῶς ἀντιλαμβάνεται, ποτὲ μὲν μόνη, ποτὲ δὲ μετὰ μνήμης καὶ ὀχήσεως· τὸ δὲ ἀριθμοῦ τῆς ὁρωμένων τὸ ὑπερ τὰ ἕξια· ἡ δ', τὸ κατὰ μίαν προσβολὴν μὴ ὁρωμένου καὶ τῆς κινήσεων καὶ τῶν σχημάτων τῆς πολυγώνων οὐδέποτε μόνη, ἀλλὰ μετὰ μνήμης καὶ ὀχήσεως· οὐ γὰρ δύναται τὰ πέντε καὶ ἓξ καὶ ἑπτὰ καὶ πλεῖον χωρὶς μνήμης συναγαγεῖν· οὕτως οὐδὲ τὰ ἑξάγωνα καὶ ὀκτάγωνα καὶ πολύγωνα σχήματα· καὶ ἡ κίνησις δὲ κατὰ μετάβασιν γινομένη, τὸ μὲν ἔχει πρότερον, τὸ δὲ δεύτερον. ἔνθα δὲ πρότερον ἐστὶ καὶ δεύτερον καὶ τρίτον, τοῦτο μνήμη μόνη διαφυλάττει· τὸ δὲ ἄνω καὶ κάτω καὶ τὸ ἀνώμαλον καὶ ὁμαλὸν, ὡσαύτως δὲ καὶ τὸ τραχὺ καὶ τὸ λεῖον καὶ τὸ ὀξὺ καὶ ἀμβλὺ κοινὰ τῆς ἁφῆς καὶ τῆς ὄψεως ἐστὶν, ἐπειδὴ καὶ μόναι τὸν τόπον διαγινώσκουσι. χρήζουσι δὲ καὶ ὀχήσεως. μόνον γὰρ ἐκεῖνο τὸ κατὰ μίαν προσβολὴν προσπῖπτον τῇ αἰσθήσει, μόνης αἰσθήσεως ἔργον ἐστὶ· τὰ δὲ κατὰ πλείους οὐ μόνης, ἀλλὰ καὶ μνήμης μετὰ διανοίας, ὡς ἔμπροσθεν ἐδείχθη. τῆς δὲ διαφανῶν καὶ μέχρι βάθους διϊκνεῖσθαι πέφυκεν ἡ ὄψις, ἀέρος μὲν πρῶτον καὶ μάλιστα, ὅλον γὰρ διεξέρχεται· δεύτερον δὲ ὕδατος ἠρεμοῦντος τε καὶ καθαροῦ, τοὺς ἰχθύας γοῦν νηχομένους ὁρῶμεν· ἧττον δὲ διὰ ὕαλου καὶ τῆς ἄλλων τοιουτοτρόπων· δῆλον δὲ ὅτι πεφωτισμένων·

νων· καὶ τοῦτο ἴδιον αὐτῆς. μὴ ἀπατήσῃ δὲ πινὰς ὡς καὶ τῆς θερμῶν ἡ ἀντίληψις ὄψεως ἐστὶν, ἐπειδὴ τὸ πῦρ ὁρῶντες, ἴσμεν εὐθέως ὅτι καὶ θερμόν ἐστιν· ἂν γὰρ ἐπὶ τὴν πρώτην ὄψιν ἀναγάγῃς τὸν λόγον, εὑρήσεις ὡς τότε ὅτε πρῶτον ἡ ὄψις ἐθεάσατο τὸ πῦρ μόνου τοῦ χρώματος καὶ σχήματος ἔσχε τὴν ἀντίληψιν· προσελθόντες δὲ τῆς ἁφῆς ἐγνωρίσαμεν ὅτι καὶ θερμόν ἐστιν. ὅπερ διεφύλαξεν ἡ μνήμη παραλαβοῦσα παρὰ τῆς ἁφῆς· νῦν οὖν ὅταν θεασώμεθα πῦρ, οὐδὲν ἄλλο βλέπομεν ἢ τὸ σχῆμα καὶ τὸ χρῶμα τοῦ πυρός. ἡ δὲ διάνοια συμπαραλαμβάνει τοῖς ὁρωμένοις διὰ τῆς μνήμης καὶ τὴν θερμότητα. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ μήλου. εἰ γὰρ οὐχ ὑπὸ μόνου τοῦ χρώματος καὶ σχήματος εἰσποιεῖται τὸ μῆλον, ἀλλὰ καὶ τῆς ὀσμῆς, καὶ τῆς κατὰ τὴν γεῦσιν ποιότητος, οὐχὶ καὶ τούτων ἡ ὄψις ἀντιλαμβανομένη οἶδεν ὅτι μῆλον. ἀλλ' ἡ ψυχὴ τὴν μνήμην ἀποσώζει τὴν ἐκ τῆς ὀσφρήσεως τε καὶ γεύσεως. ἅμα τε τῷ θεάσασθαι συνεπινοεῖ καὶ ταῦτα τῷ σχήματι καὶ τῷ χρώματι. ὅταν οὖν κήρινον μῆλον νομίσωμεν ἀληθινὸν εἶναι μῆλον οὐχ ἡ ὄψις ἐστὶν ἡ ἐξαπατωμένη, ἀλλ' ἡ διάνοια. ἡ γὰρ ὄψις ἐν τοῖς ἰδίοις αἰσθητοῖς οὐ διεσφάλη· τό τε γὰρ χρῶμα, καὶ τὸ σχῆμα συνεῖδεν. εἰ μὲν ἓν τρεῖς τῆς αἰσθήσεως εἶτε ὄψις καὶ ἡ ἀκοὴ καὶ ἡ ὄσφρησις τῶν ἔξωθεν καὶ μὴ προσπελαζόντων ἀντιλαμβάνονται, διὰ μέσου τοῦ ἀέρος· ἡ δὲ γεῦσις οὐκ ἄλλως αἰσθάνεται ἐὰν μὴ προσομιλήσῃ τῷ αἰσθητῷ,

ἡ δὲ ἁφὴ ἐπαμφοτερίζε· καὶ γὰρ πλησιάζουσα τοῖς σώμασι καὶ διὰ μέσης ἐσθ' ὅτε ῥάβδου· ποτὲ μὲν οὖν ἡ ὄψις τῆς ἐπιμαρτυρίας χρήζει τῆς τῶν ἄλλων αἰσθήσεων, ὅταν ᾖ τὸ φαινόμενον ἐπιτετεχνημένον πρὸς ἀπάτην ὡς ἐπὶ τῆς γραφῆς· γραφικῆς γὰρ ἔργον ἀπατῆσαι τὴν ὄψιν ἐξοχαῖς οὐκ οὔσαις καὶ κοιλώμασιν, εἰ τὸ πρᾶγμα τοιαύτην ἔχει τὴν φύσιν, ἔνθα χρεία πρὸς διάγνωσιν μάλιστα μὲν τῆς ἁφῆς, ἐσθ' ὅτε δὲ καὶ τῆς γεύσεως ἢ ὀσφρήσεως, ὡς ἐπὶ τοῦ κηρίνου μήλου· ποτὲ δὲ καὶ καθ' ἑαυτὴν ἐναργῶς παρίστησι τὰ φαινόμενα ὅταν μὴ πόρρωθεν ὁρᾷ· τὸν γοῦν πύργον τὸν τετράγωνον στρογγύλον ὁρᾷ πόρρωθεν· σφάλλεται δὲ καὶ ὅταν δι' ἀχλύος ἢ καπνοῦ βλέπομεν ἢ τινὸς τῶν παραπλησίων τῶν ἐπιθολούντων τὴν ὄψιν. ὁμοίως καὶ ὅταν δι' ὕδατος κινουμένου· καὶ γὰρ ἐν τῇ θαλάσσῃ τὴν κώπην ὡς κεκλασμένην ὁρᾷ· ὁμοίως καὶ ὅταν διάτινος διαφανοῦς ὕλης βλέπῃ ὡς ἐπὶ τῶν ἐσόπτρων καὶ τῆς ὑέλου καὶ τῶν ἄλλων τῶν τοιουτοτρόπων ἢ ὅταν ὀξέως κινῆται τὸ ὁρώμενον· συνταράσσει γὰρ τὴν ὄψιν ἡ ταχεῖα κίνησις ὡς στρογγύλα τὰ μὴ στρογγύλα βλέπειν καὶ ὡς ἑστῶτα τὰ κινούμενα. ἢ ὅταν ἡ διάνοια πρὸς ἄλλοις ἠσχόληται ὡς ἐπὶ τῶν προσδεμένου μὲν συντυχεῖν φίλῳ. καὶ συντυχόντος μὲν, παρελθόντος δὲ, αὐτὸν τῷ τὴν διάνοιαν αὐτοῦ πρὸς ἑτέροις εἶναι. οὐκ ἔστι δὲ οὐδὲ τοῦτο διαμάρτημα τῆς ὄψεως ἀλλὰ τῶν νοῦ. ἡ μὲν γὰρ εἶδε καὶ ἀπήγγειλεν. ὁ δὲ νοῦς οὐ προσέσχε τοῖς ἀπαγ-

ἀπαγγελθεῖσι. τεσσάρων δὲ μάλιστα πρὸς ἐναργῆ διάγνωσιν ἡ ὄψις χρήζει, ἀβλουβοῖς αἰσθητηρίου, συμμέτρου κινήσεως, καὶ διαστήματος, ἀέρος καθαροῦ καὶ λαμπροῦ.

ΠΕΡΙ ΑΦΗΣ ΚΕΦ. Η.

ΕΚΑΣΤΟΝ μὲν τῶν ἄλλων αἰσθητηρίων διπλοῦν ὁ δημιουργὸς κατασκευάσας καὶ τόπῳ τινὶ καὶ μορίῳ τοῦ σώματος περιέγραψε· καὶ γὰρ ὀφθαλμοὺς δύο, καὶ ὦτα β̄, καὶ δύο πόρους, τῆς αἰσθήσεως ἐν τῇ ῥινὶ πεποίηκε· καὶ γλώττας δὲ β̄ πᾶσι τοῖς ζώοις ἐνέφυσεν, ἀλλὰ τὰς μὲν διῃρημένας ὡς τοῖς ὄφισι· τὰς δὲ συνημμένας καὶ συνηνωμένας ὡς τοῖς ἀνθρώποις· διὰ τοῦτο καὶ β̄ τὰς προσθίους κοιλίας μόνας τοῦ ἐγκεφάλου πεποίηκεν. ἵνα ἐξ ἑκατέρας κοιλίας, τὰ αἰσθητικὰ νεῦρα καταπεμπόμενα διπλᾶ ποιῇ τὰ αἰσθητήρια, διπλᾶ δὲ αὐτὰ πεποίηκε δι' ὑπερβάλλουσαν κηδεμονίαν· ἵνα τοῦ ἑτέρου παθόντος τὸ περιλειπόμενον σώζῃ τὴν αἴσθησιν· ἀλλὰ τῶν μὲν πλείστων αἰσθητηρίων διαφθειρομένων οὐδὲν εἰς αὐτὴν τὴν ζωὴν καταβλάπτεται τὸ ζῶον. ἁφῆς δὲ ἀπολλυμένης συναπόλλυται καὶ τὸ ζῶον. ἁφὴ γὰρ μόνη τῶν αἰσθήσεων κοινὴ πάντων ἐστὶ τῶν ζώων. πᾶν γὰρ ζῶον ἁφὴν ἔχει, καὶ τὰς ἄλλας αἰσθήσεις οὐ πάντα πάσας, ἀλλ' ἐνίας ἔνια· πάσας δὲ ἔχει τὰ τελειότερα. ἐπειδὴ τοίνυν ἐν τούτῳ τὸ ζῶον κινδυνεύει ζῶον εἶναι ἢ μὴ εἶναι οὐχ' ἓν μόριον ὁ δημιουργὸς ἀπεκλήρωσε τῇ ἁφῇ· ἀλλὰ πᾶν σχεδὸν τὸ

σῶμα τοῦ ζώου· πλὴν γὰρ ὀστῶν καὶ κεράτων καὶ ὀνύχων συνδέσμων τε καὶ τριχῶν καὶ ἄλλων τινῶν τοιούτων, πᾶν μόριον τοῦ σώματος τῆς ἁφῆς ἀντιλαμβάνεται· συμβέβηκεν οὖν ἕκαστον τῶν αἰσθητηρίων διπλὰς ἔχειν αἰσθήσεις· τὴν μὲν τῶν ἰδίων αἰσθητῶν· τὴν δὲ τῆς ἁφῆς ὡς ἡ ὄψις· καὶ γὰρ τὰ χρώματα διακρίνει καὶ τῶν ψυχρῶν καὶ θερμῶν ἀντιλαμβάνεται· ἀλλὰ τούτων μὲν ὡς σωμάτων, τῶν δὲ χρωμάτων ὡς ὄψις. ὡσαύτως δὲ καὶ γεῦσις καὶ ὄσφρησις καὶ ἀκοὴ. πῶς οὖν παντός ἐστι τοῦ σώματος ἡ ἁφὴ, εἴπερ ἀπὸ τῶν προσθίων κοιλιῶν τοῦ ἐγκεφάλου λέγομεν εἶναι τὰς αἰσθήσεις; ἢ δῆλον ὅτι νεύρων καταπεμπομένων ἐξ ἐγκεφάλου καὶ διασπειρομένων εἰς πᾶν μόριον τοῦ σώματος ἡ τῆς ἁφῆς αἴσθησις προσγίνεται· ἐπειδὴ δὲ πολλάκις ὑπ' ἀκάνθης πληγέντες τὸν πόδα, τῆς κεφαλῆς εὐθέως τὰς τρίχας φρίττομεν. ὠήθησαν τινὲς τὸ πάθος ἢ τὴν αἴσθησιν τοῦ πάθους εἰς τὸν ἐγκέφαλον ἀναπέμπεσθαι, καὶ οὕτως αἰσθάνεσθαι. ἀλλ' εἴπερ ἦν ἀληθὴς οὗτος ὁ λόγος, οὐκ ἂν ἤλγει τὸ τεμνόμενον μόριον, ἀλλ' ὁ ἐγκέφαλος. βέλτιον οὖν λέγειν ὅτι τὸ νεῦρον ἐγκέφαλός ἐστι. καὶ γὰρ μοῖρα τίς ἐστιν ἐγκεφάλου διὰ παντὸς ἑαυτοῦ τὸ ψυχικὸν ἔχον πνεῦμα. ὡς ὁ πεπυρακτωμένος σίδηρος ἔχει τὸ πῦρ· διάτοι τοῦτο ἔνθα ἂν νεῦρον αἰσθητικὸν ἐμφύηται ἐκεῖνο τὸ μέρος αἰσθήσεως ὑπ' αὐτοῦ μεταλαμβάνει καὶ γίνεται αἰσθητικὸν. οὐδὲν δὲ ἴσως ἄτοπον λέγειν ἐπὶ τὴν ἀρχὴν τῶν νεύρων

τὸν

τὸν ἐγκέφαλον ἀναπέμπεσθαι, οὐ τὸ πάθος, ἀλλὰ συναίσθησίν τινα καὶ ἐπαγγελίαν δὴ τοῦ πάθους. ἔστι δὲ ἴδιον αἰσθητὸν ἁφῆς τὸ θερμὸν καὶ ψυχρὸν, τό τε μαλακὸν, καὶ σκληρὸν, καὶ γλίσχρον, καὶ κραῦρον, βαρύ τε καὶ κοῦφον· διὰ μόνης γὰρ τῆς ἁφῆς ταῦτα γνωρίζεται· κοινὰ δὲ ἁφῆς καὶ ὄψεως, τό τε ὀξὺ καὶ ἀμβλὺ καὶ τὸ τραχὺ καὶ λεῖον, τό τε ξηρὸν καὶ ὑγρὸν, παχύ τε καὶ λεπτὸν, ἄνω καὶ κάτω· καὶ γὰρ ὁ τόπος. τό τε μέγεθος ὅταν ᾖ τοιοῦτον ὡς κατὰ μίαν προσβολὴν τῆς ἁφῆς περιλαμβάνεσθαι· καὶ τὸ πυκνὸν δὲ τὸ μανὸν καὶ τὸ στρογγύλον ὅταν ᾖ μικρὸν, ὡς καὶ ἄλλα τίνα σχήματα: ὁμοίως δὲ καὶ τῆς κινήσεως τοῦ πλησιάζοντος αὐτῇ σώματος αἰσθάνεται σὺν τῇ μνήμῃ καὶ τῇ διανοίᾳ. ὡσαύτως δὲ καὶ ἀριθμοῦ. ἀλλὰ μέχρι δυοῖν ἢ τριῶν καὶ τούτων μικρῶν καὶ ῥαδίως περιλαμβανομένων· μᾶλλον δὲ τῆς ἁφῆς ἡ ὄψις τούτων ἀντιλαμβάνεται. ὥσπερ καὶ τοῦ ὁμαλοῦ καὶ τοῦ ἀνωμάλου. τοῦ γὰρ γένους ἐστὶ τοῦ τε λείου καὶ τραχέος· σκληρότητι μὲν γὰρ ἀνωμαλία μιχθεῖσα τραχύτητα, ὁμαλότης δὲ πυκνότητι λειότητα ποιεῖ. δῆλον οὖν ἐκ τῶν εἰρημένων ὡς πολλὴν κοινωνίας αἱ αἰσθήσεις αὐταὶ πρὸς ἀλλήλας ἔχουσι· καὶ γὰρ τὰ τῆς ἑτέρας διαμαρτήματα ἡ ἑτέρα διασαφεῖ· ἐπὶ γοῦν τῆς γραφῆς ἡ μὲν ὄψις ἐξοχὰς τινὰς ὁρᾷ, ῥινός τε καὶ τῶν ἄλλων, ἡ δὲ ἁφὴ προσελθοῦσα διήλεγξεν αὐτῆς τὸ διαμάρτημα. ὥσπερ ἡ ὄψις ἀεὶ καὶ πάντα, διὰ μέσου τοῦ ἀέρος ὁρᾷ, οὕτω καὶ ἡ ἁφὴ διὰ μέσης τῆς βακτη-

 ρίας

ρίας τῆς σκληρῶν καὶ μαλακῶν καὶ ὑγρῶν αἰσθάνεται. ἀλλὰ συλλογιστικῶς καὶ μετὰ διανόιας. ἀκριβεστάτην δὲ ἔχει ταύτην τὴν αἴσθησιν ὁ ἄνθρωπος. ταύτῃ γοῦν καὶ τῇ γεύσῃ πλέον ἔχει τῶν ἄλλων ζώων καί τοι ταῖς ἄλλαις ῥισὶν ἥττων μύων. ἄλλο μὲν γὰρ ζῶον κατ' ἄλλην αἴσθησιν τῶν βιῶν πλεονεκτεῖ τὸν ἄνθρωπον. ὁ δὲ κύων ἐν ταῖς ῥισὶν ἅμα· ὀξύτερον γὰρ καὶ ἀκούει καὶ βλέπει καὶ ὀσφραίνεται. ὡς δῆλον ἐκ τῶν ἰχνευόντων κυνῶν. καὶ πᾶν μὲν τὸ σῶμα τῆς ἁφῆς ἐστι αἰσθητήριον ὡς καὶ πρόσθεν εἴρηται. μάλιστα δὲ τῆς χειρῶν τὰ ἔσωθεν· καὶ τούτων ἔτι μᾶλλον τὰ ἄκρα τῶν δακτύλων. ταῦτα γὰρ ὥσπερ γνώμονας ἀκριβεῖς τῆς ἁφῆς ἔχομεν· οὐ γὰρ μόνον ἀντιληπτικὸν ὄργανον ὁ δημιουργὸς τὰς χεῖρας κατεσκεύασεν· ἀλλὰ καὶ ἁπτικὸν, διὰ τοῦτο καὶ τὸ δέρμα λεπτότερον ἔχουσι· καὶ μῦς ἀναταῖς ὅλαις ἔσωθεν ὑπέστρωται, καὶ βιχῶν ἀμοιρεῖσιν ἵνα μᾶλλον τῶν ἁπλῶν ἀντιλαμβάνωνται. τοὺς δὲ βίχας ἀυτὰς μὴ φύειν ὁ ὑπεστορεσμένος μῦς γέγονεν αἴτιος. τῶν δὲ χειρῶν αἱ μὲν σκληρότεραι πρὸς ἀντίληψιν εἰσὶν ἰσχυρότεραι. αἱ δὲ μαλακώτεραι πρὸς τὴν ἁφὴν ἀκριβέστεραι. ὥσπερ καὶ τῶν νεύρων τὰ μὲν σκληρὰ πρὸς κίνησιν, τὰ δὲ μαλακὰ πρὸς αἴσθησιν εἰσὶν ἐπιτηδειότερα. ταῦτα γὰρ καὶ τῆς ἁφῆς ἐστιν ὄργανα· διὰ τούτων γὰρ ἡ τῆς ἁφῆς αἴσθησις γίνεται.

ΠΕΡΙ ΓΕΥΣΕΩΣ. ΚΕΦ. Θ.

Τὴν μὲν ὄψιν ἐν τοῖς ἔμπροσθεν εἴπομεν κατ' εὐθείας γραμμὰς ὁρᾶν· ἡ δὲ ὄσφρησις καὶ ἡ ἀκοὴ οὐ καθ'

καθ' εὐθείαν μόνον ἀλλὰ πανταχόθεν. ἁφὴ δὲ καὶ γεῦσις οὔτε κατ' εὐθείας γραμμὰς οὔτε πανταχόθεν γωρίζουσιν. ἀλλὰ τότε μόνον ὅταν αὐτοῖς πλησιάσωσι τοῖς ἰδίοις αἰσθητοῖς· πλὴν τῶν ἤδη διωρισμένων· ἔστι δὲ ἡ γεῦσις τῶν χυμῶν ἀντιληπτική. ὄργανα δὲ αὐτῆς ἡ γλῶσσα· καὶ ταύτης μᾶλλον τὸ ἄκρον ἔπι τε σὺν τούτοις ἡ ὑπερῶα ἐν οἷς ἐστι τὰ ἐξ ἐγκεφάλου φερόμενα νεῦρα πεπλατυσμένα καὶ ἀπαγγέλλοντα τὴν γλυκυμένην ἀντίληψιν πρὸς τὸ ἡγεμονικόν· τῶν δὲ χυμῶν αἱ γευστικαὶ καλούμεναι ποιότητες εἰσὶν αὗται γλυκύτης, ὀξύτης, δριμύτης, στυφνότης, αὐστηρότης, πικρότης, ἁλμυρότης, λιπαρότης· τούτων γὰρ ἔστιν ἡ γεῦσις διαγνωστική. καὶ ταύτας δὲ τὰς ποιότητας καὶ τὸ ὕδωρ ἄποιον λέγεται, τοῦ μηδεμίαν ἐμφαίνειν τούτων ἐν τῇ γεύσῃ ποιότητα. καὶ γὰρ τὰς ἄλλας ἴδιον ψυχρότητα, καὶ ὑγρότητα σύμφυτον ἔχει τὴν ποιότητα· στυφνότης δὲ καὶ αὐστηρότης τοῦ μᾶλλον καὶ ἧττον σύφειν ἀλλήλων διαφέρουσιν. αἱ μὲν οὖν ἁπλαῖ γευστικαὶ ποιότητες αὗται μόνον ὀκτώ εἰσι· σύνθετοι δὲ μυρίαι· καθ' ἕκαστον γὰρ εἶδος ζώου καὶ φυτοῦ ἰδιάζουσαι ποιότητες εἰσὶν· ἄλλης γὰρ ἂν οὕτω τύχῃ χωρείου ποιότητος ἀντιλαμβανόμεθα καὶ ἄλλης ἀηδείας· διὸ καὶ μὴ μαθόντες ὁποῖόν ἐστι τὸ προσενεχθὲν κρέας ἐν τῇ γεύσει γωρίζομεν· τοῦτο δὲ οὐκ ἂν ἦν εἰμὴ διάφορος ἦν ἑκάστου τῶν γευστῶν ἡ ποιότης. ὅθεν οὐκ ἄπτις αὐτὰς γλυκεῖς περιλάβοι, ἀπείρους οὔσας καὶ πάντως ἀλλήλων διαφερού-

φερούσας· καὶ γὰρ ἐν οἷς ἐπικρατεῖ μία τὶς τῶν ἁπλῶν ποιοτήτων καὶ ἐν τούτοις γνώριμος ἡ κατ' εἶδος τῶν γευστῶν διαφορὰ· ἰσχάδος γοῦν καὶ ἀσταφίδος καὶ φοίνικος μία μὲν ἐπικρατεῖ ποιότης ἡ κατὰ γλυκύτητα, ἀλλ' ἡ γεῦσις διακρίνει τῶν εἰδῶν τὸ διάφορον.

ΠΕΡΙ ΑΚΟΗΣ. ΚΕΦ. Ι.

Η ΔΕ ἀκοὴ τῶν φωνῶν καὶ τῶν ψόφων ἐστὶν αἰσθητικὴ· διαγινώσκει δὲ αὐτῶν τὴν ὀξύτητα καὶ τὴν βαρύτητα, λειότητά τε καὶ τραχύτητα καὶ μέγεθος. ὄργανα δὲ ταύτης τὰ νεῦρα τὰ ἐξ ἐγκεφάλου τὰ μαλακὰ καὶ τῶν ὤτων ἡ κατασκευὴ· μάλιστα δὲ αὐτῶν τὸ χονδρῶδες γένος. πρὸς γὰρ ψόφους καὶ ἤχους ἐπιτήδειος καὶ ἐστὶν ὁ χόνδρος· μόνος δὲ ὁ ἄνθρωπος καὶ πίθηκος οὐ κινοῦσι τὰ ὦτα, τῶν ἄλλων πάντων ζώων τῶν ἐχόντων ὦτα κινούντων αὐτά.

ΠΕΡΙ ΟΣΦΡΗΣΕΩΣ ΚΕΦ. ΙΑ.

Η ΔΕ ὄσφρησις γίνεται μὲν διὰ τῶν ῥινῶν, παραίνεται δὲ εἰς τὰ πέρατα τῶν προσθίων τῶν ἐγκεφάλου κοιλιῶν· αὗται γὰρ ἀτμοειδέσταται τὴν φύσιν οὖσαι τῶν ἀτμῶν ῥαδίως ἀντιλαμβάνονται· λέλεκται γὰρ καὶ πρόσθεν ὡς ἕκαστον τῶν αἰσθητηρίων καθ' ὁμοιότητα τινὰ καὶ οἰκειότητα τῶν ἰδίων αἰσθητῶν ἀντιλαμβάνεται. οὐ μὴν ὥσπερ τοῖς ἄλλοις αἰσθητηρίοις νεῦρον αἰσθητικὸν κατέπεμψεν ὁ ἐγκέφαλος, οὕτως καὶ τῇ ὀσφρήσει, ἀλλὰ τοῖς πέρασιν ἑαυτοῦ τῶν νεύρων ἀναπληροῖ τὴν χρείαν, καὶ τὴν τῶν ἀτμῶν ἀνάδοσιν δέχεται. τῶν δὲ ἀτμῶν ἡ γενικωτάτη

κωτάτη διαφορὰ εὐωδίατέ ἐστι καὶ δυσωδία καὶ τὸ μέσον τούτων ὃ μήτε εὐῶδες ἐστὶ, μὴ τε δυσωδία. γίνεται δὲ εὐωδία τῶν ὑγρῶν τῶν ἐν τοῖς σώμασιν ἀκριβῶς πεφθέντων. μέσως δὲ ἡ μέση διάθεσις. καταδεέστερον δὲ ἢ μηδ' ὅλως δυσωδία.

ΠΕΡΙ ΤΟΥ ΔΙΑΝΟΗΤΙΚΟΥ ΚΕΦ. ΙΒ.

ΤΟΥ μὲν οὖν φανταστικοῦ ἥ τε δύναμις καὶ τὰ ὄργανα καὶ τὰ μόρια καὶ τῶν μορίων ἡ κοινωνία τε καὶ διαφορὰ τὸν ἐνδεχόμενον τρόπον ὡς ἐν βραχέσιν ἱκανῶς εἴρηται· τοῦ δὲ διανοητικοῦ εἰσὶ γενικῶς μὲν, αἵτε κρίσεις καὶ συγκαταθέσεις καὶ ἀποφυγαὶ καὶ ὁρμαὶ. εἰδικῶς δὲ αἵτε νοήσεις τῶν ὄντων καὶ αἱ ἀρεταὶ, καὶ αἱ ἐπιστῆμαι καὶ τῶν τεχνῶν οἱ λόγοι, καὶ τὸ βουλευτικὸν, καὶ προαιρετικὸν· τοῦτο δέ ἐστι καὶ τὸ δι' ὀνείρων θεσπίζον ἡμῖν τὸ μέλλον· ἥνπερ μόνην ἀληθῆ μαντείαν οἱ πυθαγόρειοι λέγουσιν εἶναι, τοῖς Εβραίοις ἀκολουθήσαντες· ὄργανον δὲ καὶ τούτου ἡ μέση κοιλία τοῦ ἐγκεφάλου, καὶ τὸ ψυχικὸν πνεῦμα τὸ ἐν αὐτῇ.

ΠΕΡΙ ΤΟΥ ΜΝΗΜΟΝΕΥΤΙΚΟΥ ΚΕΦ. ΙΓ.

ΤΟ δὲ μνημονευτικόν ἐστι μνήμης καὶ ἀναμνήσεως αἰτιόν τε καὶ ταμιεῖον· ἔστι δὲ μνήμη, ὡς μὲν Ωριγένης φησὶν, φαντασία ἐγκαταλελειμμένη ἀπό τινος αἰσθήσεως τῆς κατ' ἐνέργειαν. ὡς δὲ Πλάτων σωτηρία αἰσθήσεως τε καὶ νοήσεως· ἡ γὰρ ψυχὴ τῶν μὲν αἰσθητῶν διὰ τῶν αἰσθητηρίων ἀντιλαμβάνεται,

ται, καὶ γίνεται δόξα. τῶν δὲ νοητῶν διὰ τῶν νοῦ καὶ γίνεται νόησις. ὅταν οὖν τοὺς τύπους ὧντε ἐδόξασεν ὧντε ἐνόησε διασώζει μνημονεύειν λέγεται· ἔοικε δὲ νόησιν λέγειν ὁ Πλάτων ἐν τούτοις, οὐ τὴν κυρίως νόησιν, ἀλλὰ τὴν διανόησιν. τὰ μὲν γὰρ αἰσθητὰ μνημονεύεται καθ' ἑαυτὰ, τὰ δὲ νοητὰ κατὰ συμβεβηκὸς· ἐπειδὴ καὶ τῶν διανοητῶν ἡ μνήμη ἐκ προλαβούσης φαντασίας περιγίνεται. τὰ δὲ κυρίως νοητὰ ὅτι μὲν ἐμάθομεν ἢ ἠκούσαμεν μεμνήμεθα· τῆς δὲ οὐσίας αὐτῶν μνήμην οὐκ ἔχομεν· οὐ γὰρ ἐκ προηγησαμένης φαντασίας ἡ τῶν νοητῶν ἀνάληψις, ἀλλ' ἐκ μαθήσεως ἢ φυσικῆς ἐννοίας. εἰ δὲ μνημονεύειν λεγόμεθα ἃ πρότερον εἴδομεν καὶ ἠκούσαμεν ἢ ἄλλως πως ἔγνωμεν, τὸ δὲ πρότερον τὴν ἀναφορὰν ἔχει πρὸς τὸν παρελθόντα χρόνον δῆλον ὡς μνημονευτά ἐστι τὰ γινόμενα, τὰ φθειρόμενα, τὰ ἐν χρόνῳ συνιστάμενα, καὶ ἔστι μὲν τῶν ἀπόντων ἡ μνήμη, οὐ μὴν ἀπὸ τῶν ἀπόντων γίνεται· ἀνάμνησις δὲ λέγεται ὅταν λήθη μεσολαβήσῃ τὴν μνήμην. ἔστι γὰρ ἀνάμνησις μνήμης ἐξιτήλου γενομένης ἀνάκτησις· γίνεται δὲ ἐξίτηλος ὑπὸ τῆς λήθης· λήθη δέ ἐστι μνήμης ἀποβολὴ· ἀλλὴ μὲν διηνεκὴς, ἡ δὲ ἐπὶ ποσὸν. ἧς ἐστιν ἡ ἀνάμνησις· ἑτέρα δέ ἐστιν ἀνάμνησις ἥτις οὐκ ἔστι λήθη τῶν ἐξ αἰσθήσεως καὶ νοήσεως, ἀλλὰ τῶν φυσικῶν ἐννοιῶν· φυσικὰς δὲ λέγομεν ἐννοίας, τὰς ἀδιδάκτως πᾶσι προσούσας, ὡς τὸ εἶναι Θεὸν· ταύτην δὲ ὁ Πλάτων ἀνάμνησιν εἶναι

εἶναι λέγει τῶν ἰδεῶν· τί δέ ἐστιν ἰδέα ἐν τοῖς ἑξῆς ἐροῦμεν· τὸ μὲν οὖν φανταστικὸν παραδίδωσι τῷ διανοητικῷ τὰ φαινόμενα· τὸ δὲ διανοητικὸν ἢ διαλογιστικὸν παραλαβὸν καὶ κρίναν παραπέμπει τῷ μνημονευτικῷ· ὄργανον δὲ τούτου ἡ ὄπισθεν κοιλία τοῦ ἐγκεφάλου. ἣν καὶ παρεγκεφαλίδα καὶ παρακρανίδα καλοῦσι, καὶ τὸ ἐν αὐτῇ ψυχικὸν πνεῦμα· ἐπειδὴ δὲ τῶν μὲν αἰσθήσεων ἀρχὰς καὶ ῥίζας τὰς ἔμπροσθεν εἶναι κοιλίας φαμὲν τοῦ ἐγκεφάλου, τῶν δὲ διανοητικοῦ τὴν μέσην, τοῦ δὲ μνημονευτικοῦ τὴν ὄπισθεν, ἀναγκαῖον ἐστὶν ἐπιδεῖξαι· εἰ ταῦτα τοῦτον ἔχει τὸν τρόπον. ἵνα μὴ δόξωμεν ἀλόγως πιστεύειν τοῖς λεγομένοις· ἱκανωτάτη δὲ ἀπόδειξις ἡ ἐξ αὐτῆς τῆς τῶν μορίων ἐνεργείας λαμβανομένη· τῶν μὲν γὰρ προστίων κοιλιῶν καθ' ὅντινα δὴ τρόπον βλαβουσῶν, αἱ μὲν αἰσθήσεις παραποδίζονται, τὸ δὲ διανοητικὸν ἐπιμένει σωζόμενον· τῆς δὲ μέσης κοιλίας μόνης παθούσης, ἡ μὲν διάνοια σφάλλεται, τὰ δὲ αἰσθητήρια μένει φυλάττοντα τὴν κατὰ φύσιν αἴσθησιν· ἐὰν δὲ καὶ αἱ πρόσθιοι καὶ ἡ μέση κοιλία πάθωσιν, ὁ λογισμὸς ἅμα ταῖς αἰσθήσεσι παρακόπτει. τῆς δὲ παρεγκεφαλίδος παθούσις, ἡ μνήμη μόνη παραπόλλυται, τῆς αἰσθήσεως καὶ τῆς διανοίας, εἰς οὐδὲν βλαπτομένων. ἐὰν δὲ σὺν τοῖς προσθίοις καὶ ἡ μέση καὶ ἡ ὄπισθεν πάθῃ τί, καὶ τὴν αἴσθησιν καὶ τὸν λογισμὸν καὶ τὴν μνήμην ὁμοῦ παραφθείρονται. πρὸς τῷ καὶ τὸ πᾶν κινδυνεύειν ἀπο-

ἀπολέσθαι ζῶον· γίνεται δὲ τοῦτο δῆλον καὶ δι' ἄλλων μὲν πολλῶν παθῶν τε καὶ συμπτωμάτων, μάλιστα δὲ ἐκ τῆς φρενίτιδος. τῶν γὰρ φρενιτιώντων, οἱ μὲν τὰς αἰσθήσεις διασώζουσι τῆς διανοίας μόνης βλαβείσης. τοιοῦτον ἀναγράφει Γαλήνος φρενητίσαντα ὃς ἐριουργοῦ τινὸς ἐργαζομένου παρ' αὐτῷ διαναστὰς καὶ λαβὼν ὕελα σκεύη, ἐπί τε τὰς θυρίδας ὁρμήσας, ἠρώτα τοὺς παριόντας ἕκαστον τῶν σκευῶν ἐξ ὀνόματος καλῶν, εἰ θέλουσιν αὐτὸ ῥιφῆναι κάτω. τῶν δὲ παρεστώτων βούλεσθαι φησάντων, πρῶτον ἠκόντισε τῶν σκευῶν ἕκαστον· εἶτα ἤρετο τοὺς παρόντας εἰ καὶ τὸν ἐριουργὸν βούλοιντο ῥιφῆναι. τῶν δὲ παιδιὰν νομισάντων εἶναι τὸ πρᾶγμα, καὶ διὰ τοῦτο θέλειν φησάντων, λαβὼν ὤθησεν ἄνωθεν κάτω τὸν ἐριουργόν. οὗτος τὰς μὲν αἰσθήσεις ὑγίαινεν· ᾔδει γὰρ ὅτι σκευὴ ταῦτα καὶ ἐριουργὸς οὗτος. ἐνόσει δὲ διάκενον ἔχουσι φαντασίαν, ὁρᾶν οἰόμενοι τὰ δὲ ἄλλα φρονοῦσι κατὰ λόγον οὗτοι τὰς προσθίους μόνας κοιλίας ἐβλάβησαν, τῆς μέσης ἀπαθοῦς μεινάσης. ἐκ δὲ τῶν παθῶν τῶν παρακολουθούντων ἑκάστῳ μορίῳ τὰ τῆς ἐνεργείας αὐτῶν ἐμποδίζεται· εἰς ἐκείνην γὰρ τὴν ἐνέργειαν καταβλάπτεται τὸ ζῶον εἰς ἣν πέφυκεν ἐνεργεῖν τὸ πεπονθὸς μόριον. ὡς καὶ τοῦ ποδὸς παθόντος εἰς τὸ περιπατεῖν ἐμποδιζόμεθα. ταύτην γὰρ ὁ ποὺς ἔχει τὴν ἐνέργειαν.

ΠΕΡΙ ΤΟΥ ΕΝΔΙΑΘΕΤΟΥ ΛΟΓΟΥ ΚΑΙ ΤΟΥ ΠΡΟΦΟΡΙΚΟΥ ΚΕΦ. ΙΔ'.

Αὕτη

ΑΥΤΗ μὲν οὖν διαίρεσις τῆς ψυχικῆς δυνάμεως * ᾗ συνδιαρεῖται μέρη τινὰ τοῦ σώματος· ἑτέρα δὲ διαίρεσις καθ' ἕτερον τρόπον τοῦ λογικοῦ τῆς ψυχῆς ὅ τε καλούμενος ἐνδιάθετος λόγος καὶ ὁ προφορικός· ἔστι δὲ ἐνδιάθετος μὲν λόγος τὸ κίνημα τῆς ψυχῆς τὸ ἐν τῷ διαλογιστικῷ γινόμενον ἄνευ τινὸς ἐκφωνήσεως. ὅθεν πολλάκις καὶ σιωπῶντες λόγον ὅλον παρ' ἑαυτοῖς διεξερχόμεθα· καὶ ἐν τοῖς ὀνείροις διαλεγόμεθα· καὶ τοῦτο δὲ μάλιστα πάντες λογικοὶ ἐσμεν. οὐ γὰρ οὕτω καὶ τὸν προφορικὸν λόγον ὡς καὶ τοῦτον. καὶ γὰρ οἱ ἐκ γενετῆς κωφοὶ καὶ οἱ διὰ πάθος ἢ νόσημά τι τὴν φωνὴν ἀποβαλόντες, οὐδὲν ἧττον λογικοὶ εἰσιν. ὁ δὲ προφορικὸς λόγος ἐν τῇ φωνῇ καὶ ἐν ταῖς διαλέκτοις τὴν ἐνέργειαν ἔχει· ὄργανα δὲ τῆς φωνῆς πολλά. ὅιτε γὰρ ἐν τοῖς μεσοπλεύροις ἔσωθεν μύες καὶ ὁ θώραξ καὶ ὁ πνεύμων ἥτε τραχεῖα ἀρτηρία καὶ ὁ λάρυγξ καὶ τούτων μάλιστα τὸ χονδρῶδες, καὶ τὰ παλινδρομοῦντα νεῦρα καὶ ἡ γλωττὶς καὶ πάντες οἱ κινοῦντες τὰ μόρια ταῦτα μύες τῆς ἐκφυσήσεως εἰσὶν ὄργανα· τῆς δὲ διαλέκτου τὸ στόμα. ἐν τούτῳ γὰρ διαπλάττεται καὶ σχηματίζεται καὶ οἱονεὶ μορφοῦται ἡ διάλεκτος· τῆς μὲν γλώσσης καὶ τοῦ γαργαρεῶνος πλήκτρου λόγον ἐπεχόντων· τῆς δὲ ὑπερώας ἠχείου· τῶν δὲ ὀδόντων καὶ τῆς ποιᾶς τοῦ σώματος διανοίξεως, ὡς ἐν λύρᾳ τὴν τῶν χορδῶν ἀναπληρούντων χρείαν· συντελούσης τι καὶ τῆς ῥινὸς πρὸς εὐφωνίαν, ἤτοι καλλιφωνίαν

* εἰς ἣν δι αἱρεῖται

φωνίαν ὡς δῆλον ἐκ τῶν ἀδόντων.

ΕΤΕΡΑ ΔΙΑΙΡΕΣΙΣ ΤΗΣ ΨΥΧΗΣ. ΚΕΦ. ΙΕ.

ΔΙΑΙΡΟΥΣΙ δὲ καὶ ἄλλως εἰς δυνάμεις ἢ ἤδει ἢ μέρη τὴν ψυχήν. εἴς τε τὸ φυσικὸν ὃ καὶ θρεπτικὸν καὶ παθητικὸν καλεῖται· καὶ εἰς τὸ αἰσθητικὸν καὶ εἰς τὸ λογικὸν· τῶν δὲ ὀργάνων ἑκάστου τούτων, τὰ μὲν εἴρηται, τὰ δὲ ἐν τοῖς ἑξῆς ῥηθήσεται. Ζήνων δὲ ὁ στωϊκὸς ὀκταμερῆ φησὶν εἶναι τὴν ψυχὴν, διαιρῶν αὐτὴν εἰς τὸ ἡγεμονικὸν, καὶ εἰς τὰς πέντε αἰσθήσεις, καὶ εἰς τὸ φωνητικὸν καὶ τὸ σπερματικὸν· Παναίτιος δὲ ὁ φιλόσοφος τὸ μὲν φωνητικὸν τῆς καθ' ὁρμὴν κινήσεως μέρος εἶναι βούλεται· λέγων ὀρθότατα. τὸ δὲ σπερματικὸν οὐ τῆς ψυχῆς μέρος ἀλλὰ τῆς φύσεως· Αριστοτέλης δὲ ἐν μὲν τοῖς φυσικοῖς πέντε εἶναι λέγει τὰ μέρη τῆς ψυχῆς, τό τε φυτικὸν καὶ τὸ αἰσθητικὸν καὶ τὸ κινητικὸν κατὰ τόπον, καὶ τὸ ὀρεκτικὸν καὶ τὸ διανοητικὸν. φυτικὸν λέγων τὸ τρέφον καὶ αὔξον καὶ γεννῶν, ποιοῦν καὶ διαπλάσσων τὰ σώματα· καλεῖ δὲ τὸ φυτικὸν καὶ θρεπτικὸν, τὸ πᾶν ἀπὸ τοῦ κρατίστου μέρους καλῶν τοῦ τρέφοντος· ἀφ' οὗ καὶ τὰ ἄλλα μέρη τοῦ φυτικοῦ τὴν ὕπαρξιν ἔχει· οὕτως μὲν ἐν τοῖς φυσικοῖς. ἐν δὲ τοῖς ἠθικοῖς εἰς δύο τὰ πρῶτα καὶ γενικώτατα διαιρεῖ τὴν ψυχὴν, εἴς τε τὸ λογικὸν καὶ τὸ ἄλογον· ὑποδιαιρεῖ δὲ τὸ ἄλογον, εἴς τε τὸ ἐπιπειθὲς λόγῳ· καὶ εἰς τὸ μὴ κατήκοον λόγῳ· περὶ μὲν οὖν τοῦ λογικοῦ ἐν τοῖς προλαβοῦσιν εἴρηται. περὶ δὲ τοῦ ἀλόγου νῦν διαληψόμεθα.

Περὶ

ΠΕΡΙ ΤΟΥ ΑΛΟΓΟΥ ΜΕΡΟΥΣ ΤΗΣ ΨΥΧΗΣ ὃ καὶ παθητικὸν καὶ ὀρεκτικὸν καλεῖται. ΚΕΦ. ΙΣΤ'.

ΤΙΝΕΣ καθ' ἑαυτὴν εἶναι λέγουσι τὴν ἀλογίαν· ὡς ἄλογον ψυχὴν οὖσαν, καὶ οὐ μέρος τῆς λογικῆς· πρῶτον μὲν ὅτι καὶ καθ' ἑαυτὴν ἐν τοῖς ἀλόγοις ζώοις εὑρίσκεται· ἐξ οὗ δῆλον ὅτι τελεία τίς ἐστι καὶ οὐ μέρος ἄλλης. εἶθ' ὅτι τῶν ἀτοπωτάτων ἐστὶ τῆς λογικῆς μέρος εἶναι τὸ ἄλογον. Αριστοτέλης δὲ καὶ μέρος εἶναι λέγει καὶ δύναμιν, καὶ διαιρεῖ εἰς δύο, ὡς ἔφαμεν. καλεῖ δὲ ταῦτα κοινῶς καὶ ὀρεκτικὸν· τούτου δέ ἐστι καὶ ἡ καθ' ὁρμὴν κίνησις. ἡ γὰρ ὄρεξις κινήσεώς ἐστιν ἀρχὴ· ὀρεχθέντα γὰρ τὰ ζῶα ἐπὶ τὴν καθ' ὁρμὴν αἴτει κίνησιν. τοῦ δὲ ἀλόγου τὸ μὲν οὐ πείθεται λόγῳ, τὸ δὲ ἐπιπειθές ἐστι λόγῳ· πάλιν δὲ τὸ ἐπιπειθὲς λόγῳ διαιρεῖται εἰς β'. εἴς τε τὸ ἐπιθυμητικὸν καὶ τὸ θυμικὸν. ἔστι δὲ ὄργανα τοῦ μὲν ἐπιθυμητικοῦ τοῦ δι' αἰσθήσεως τὸ ἧπαρ· τοῦ δὲ θυμικοῦ ἡ καρδία σκληρὸν μόριον, καὶ κίνησιν εὔτονον ἐπιδεχόμενον εἰς σκληρὰν ὑπηρεσίαν καὶ σύντονον ὁρμὴν τεταγμένον. ὥσπερ τὸ ἧπαρ ἁπαλὸν σπλάγχνον τῆς ἁπαλῆς ἐπιθυμίας ὄργανον γέγονε· καλεῖται δὲ ταῦτα ἐπιπειθῆ λόγῳ, ὅτι πέφυκε πείθεσθαι λόγῳ καὶ κινεῖσθαι, ὡς ἂν ὁ λόγος κελεύῃ ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων ἀνθρώπων. ἔστι δὲ καὶ ταῦτα τὰ πάθη συστατικὰ τῆς ζωώδους οὐσίας· ἄνευ γὰρ τούτων, οὐκ ἔστι συστῆναι τὴν ζωήν· ἐπεὶ δὲ τὸ πάθος ὁμωνύμως λέγεται, διασταλτέον πρότε-

ρον

ρον τὴν ὁμωνυμίαν· λέγεται γὰρ πάθος καὶ τὸ σωματικὸν ὡς τὰ νοσήματα καὶ τὰ ἕλκη· λέγεται πάθος καὶ τὸ ψυχικόν. περὶ οὖν οὗν ἐστιν ὁ λόγος, ἥτε ἐπιθυμία καὶ ὁ θυμός· ἔστι δὲ κοινῶς μὲν καὶ γλυκῶς ζώῳ πάθος ᾧ ἕπεται ἡδονὴ, ἢ λύπη· ἕπεται γὰρ τῷ πάθει λύπη, καὶ ἔκ αὐτὸ τὸ πάθος ἐστὶ λύπη. εἰ γὰρ τοῦτο ἦν, πᾶν τὸ πάσχον καὶ ἤλγει· νῦν δὲ τὰ ἀναίσθητα πάσχει μὲν, οὐκ ἀλγεῖ δὲ. οὐκ ἄρα τὸ πάθος ἐστὶν ἄλγημα ἀλλ' ἡ τοῦ πάθους αἴσθησις. δεῖ δὲ τοῦτο καὶ ἀξιόλογον εἶναι, ἵνα τῇ αἰσθήσει ὑποπέσῃ. τῶν δὲ ψυχικῶν παθῶν ὅρος οὗτος· πάθος ἐστὶ κίνησις τῆς ὀρεκτικῆς δυνάμεως αἰσθητὴ ἐπὶ φαντασίᾳ ἀγαθοῦ ἢ κακοῦ. καὶ ἄλλως· πάθος ἐστὶ κίνησις ἄλογος τῆς ψυχῆς δι' ὑπόληψιν καλοῦ ἢ κακοῦ. τὸ δὲ γενικὸν πάθος οὕτως ὁρίζονται· πάθος ἐστὶ κίνησις ἐν ἑτέρῳ ἐξ ἑτέρου. ἐνέργεια δέ ἐστι κίνησις δραστικὴ. δραστικὸν δὲ λέγεται τὸ ἐξ ἑαυτοῦ κινούμενον. οὕτως οὖν καὶ ὁ θυμὸς, ἐνέργεια μέν ἐστι τοῦ θυμοειδοῦς· πάθος δὲ τῆς γ' μερῶν τῆς ψυχῆς· καὶ προσέτι τοῦ σώματος ἡμῶν παντὸς, ὅταν ὑπὸ τοῦ θυμοῦ βιαίως ἄγηται πρὸς τὰς πράξεις. ἐξ ἑτέρου γὰρ ἐν ἑτέρῳ γέγονεν ἡ κίνησις. ὅπερ ἐλέγομεν πάθος εἶναι· καὶ καθ' ἕτερον δὲ τρόπον ἡ ἐνέργεια πάθος λέγεται, ὅταν ᾖ παρὰ φύσιν. ἐνέργεια μὲν γάρ ἐστι καὶ φύσιν κίνησις. πάθος δὲ παρὰ φύσιν· καὶ τοῦτον οὖν τὸν λόγον ἡ ἐνέργεια ὅταν μὴ καὶ φύσην κινῆται, λέγεται πάθος, εἴτε ἐξ ἑαυτοῦ κινοῖτο,

νοῖτο, εἴτε ἐξ ἑτέρου. τῆς γοῦν καρδίας ἡ μὲν καὶ τὰς σφυγμὰς κίνησις ἐνέργεια ἐστιν. ἡ δὲ καὶ τοὺς παλμοὺς πάθος. ἐξ αὐτῆς μὲν γάρ ἐστι καὶ κατὰ τὰς παλμὰς κίνησις, ἀλλ' οὐ καὶ φύσιν. ἐξ αὐτῆς δὲ καὶ ἡ τῶν σφυγμῶν, ἀλλὰ καὶ φύσιν. οὐδὲν οὖν θαυμαστὸν εἶν καὶ ταυτὸν πρᾶγμα καὶ πάθος καὶ ἐνέργειαν ὀνομάζεσθαι· καθ' ὃ μὲν γὰρ κινήσεις εἰσὶν ἐξ αὐτοῦ τοῦ παθητικοῦ τῆς ψυχῆς ἐνέργειαί πινές εἰσι. καθ' ὅσον δὲ ἄμεσοι καὶ οὐ καὶ φύσιν οὐκ ἐνέργειαι, ἀλλὰ πάθη. οὕτως οὖν ἡ κίνησις τοῦ ἀλόγου πάθος ἐστὶ κατ' ἄμφω τὰ σημαινόμενα· οὐ πᾶσα δὲ κίνησις τοῦ παθητικοῦ, πάθος καλεῖται· ἀλλ' αἱ σφοδρότεραι καὶ εἰς αἴσθησιν προβαίνουσαι. αἱ γὰρ μικραὶ καὶ ἀνεπαίσθητοι οὐδέπω πάθη. δεῖ γὰρ ἔχειν τὸ πάθος καὶ μέγεθος ἀξιόλογον· διὸ προσκεῖσθαι τῷ ὅρῳ τοῦ πάθους, τὸ κίνησις αἰσθητὴ· αἱ γὰρ μικραὶ κινήσεις λανθάνουσαι τὴν αἴσθησιν οὐ ποιοῦσι πάθος ὡς εἴρηται.

ΠΕΡΙ ΤΟΥ ΕΠΙΘΥΜΗΤΙΚΟΥ. ΚΕΦ. ΙΖ'.

ΔΙΑΙΡΕΙΤΑΙ μὲν οὖν ὡς ἔφαμεν τὸ ἄλογον τῆς ψυχῆς τὸ ὑπακουστὸν λόγῳ εἰς δύο, τό τε ἐπιθυμητικὸν καὶ τὸ θυμικόν. πάλιν δὲ τὸ ἐπιθυμητικὸν διαιρεῖται εἰς δύο, εἰς ἡδονὰς καὶ λύπας· ἐπιτυγχάνουσα μὲν γὰρ ἡ ἐπιθυμία ἡδονὴν ἐμποιεῖ, ἀποτυγχάνουσα δὲ λύπην. πάλιν δὲ καθ' ἕτερον τρόπον ἡ ἐπιθυμία διαιρουμένη, τέσσαρα σὺν ἑαυτῇ τὰ πάντα εἴδη ποιεῖ· ἐπὶ γὰρ τῶν ὄντων τὰ μὲν ἐστιν

ἀγαθὰ, τὰ δὲ φαῦλα· καὶ τὰ μὲν ἥδη παρέσι, τὰ δὲ προσδοκᾶται· καὶ τούτοις τοῖς ζόποις τὴν δύο εἰς δύο πολυπλασιαζομένων, τὰ τῆς ἐπιθυμίας εἰς τέσσαρα διαιρεῖται. ἔστι γὰρ ἀγαθὸν καὶ κακόν. καὶ πάλιν παρὸν καὶ προσδοκώμενον· προσδοκώμενον γὰρ ἀγαθὸν ἐπιθυμία ἐστὶ· ἥδη δὲ παρὸν, ἡδονὴ· ὡσαπροσδοκώμενον κακὸν, φόβος· παρὸν δὲ, λύπη. περὶ τὰ ἀγαθὰ μὲν γὰρ τρέφεται ἡδονὴ καὶ ἐπιθυμία περὶ τὰ φαῦλα δὲ φόβος καὶ λύπη. διὸ τινὲς τὸ πάθος εἰς τέσσαρα διαιροῦσιν, ἐπιθυμίαν, ἡδονὴν, φόβον καὶ λύπην. ἀγαθὰ δὲ καὶ φαῦλα λέγομεν ἢ τὰ ὄντως ὄντα, ἢ τὰ νομιζόμενα. ἐγίνονται δὲ τὰ φαῦλα πάθη τῇ ψυχῇ διὰ ζίων τέτων· διὰ κακῆς ἀγωγῆς, ἐξ ἀμαθίας, ὑπὸ κακίας. μὴ ἀκέντες γὰρ καλῶς ἐκ παίδων ὡς δύναται κρατεῖν τῶν παθῶν, εἰς τὴν ἀμεξίαν αὐτῶν ἐμπίπτομεν· ἐκ δὲ τῆς ἀμαθίας, φαῦλαι κρίσις τῷ λογικῷ τῆς ψυχῆς ἐμφύονται, ὡς ὀιεσθαι τὰ φαῦλα χρησὰ εἶναι, καὶ τὰ χρησὰ φαῦλα· γίνεται δέ τινα καὶ ἐκ τῆς τοῦ σώματος κακίας. ὀργίλοι γάρ εἰσιν οἱ πικρόχολοι· καὶ καταφερεῖς οἱ θερμοὶ καὶ ὑγροὶ τὴν κρᾶσιν· θεραπευτέον δὲ τὸ μὲν κακὸν ἔθος ἔθει καλῷ· τὴν δὲ ἀμαθίαν μαθήσει καὶ ἐπιστήμῃ· τὴν δὲ κακίαν ἰατέον σωματικῶς, μθισάντας αὐτὴν ὡς οἱόντε εἰς τὴν μέσην κρᾶσιν ἁρμοζέσῃ διαίτῃ καὶ γυμνασίοις καὶ φαρμάκοις, ἐὰν καὶ τέτων δεηθῶμεν.

ΠΕΡΙ ΗΔΟΝΩΝ. ΚΕΦ. ΙΗ'.

Τῶν

Τῶν ἡδονῶν, αἱ μέν εἰσι ψυχικαὶ, αἱ δὲ σωματικαὶ· ψυχικαὶ μὲν αἱ δι' ψυχῆς αὐτὴ καθ' ἑαυτὴν ὡς αἱ περὶ τὰ μαθήματα καὶ τὴν θεωρίαν· εἶναι γὰρ καὶ αἱ ζιαῦται μόνης εἰσὶ τῆς ψυχῆς. σωματικαὶ δὲ εἰσιν αἱ μετὰ κοινωνίας τοῦ σώματος καὶ τῆς ψυχῆς γινόμεναι· καὶ διὰ τοῦτο σωματικαὶ καλούμεναι. ὡς αἱ περὶ τὰς ζοφὰς καὶ τὰς συνουσίας. μόνον δὲ τὸ σώματος ἐκ ἂν εὕροι τις ἰδίας ἡδονὰς, ἀλλὰ πάθη, ἷον τομὰς καὶ ῥεύσεις καὶ τὰς κατὰ πρᾶσιν ποιότητας. πᾶσα γὰρ ἡδονὴ μετὰ αἰσθήσεως· ψυχικὴν δὲ τὴν αἴσθησιν ἐδείξαμεν· καὶ δῆλον ὡς τῶν πολλαχῶς λεγομένων ἐστὶν ἡ ἡδονή. ὑφ' ἕτερον γὰρ καὶ ἕτερον γένος εἰσὶν, ὡς αἱ σπουδαῖαι ἡδοναὶ καὶ φαῦλαι· καὶ αἱ μὲν ψευδεῖς, αἱ δὲ ἀληθεῖς. καὶ αἱ μὲν τῆς διανοίας μόνης κατ' ἐπιστήμην εἰσὶν, αἱ δὲ μετὰ σώματος, κατ' αἴσθησιν· καὶ αὐτῶν δὲ τῶν κατ' αἴσθησιν αἱ μὲν εἰσὶ φυσικαὶ, αἱ δὲ ἐ· καὶ τῇ μὲν ἡδονῇ τῇ ἐν τῷ πίνειν ἀντίκειται ἡ ἐν τῷ διψῆν λύπη· τῇ δὲ κατὰ θεωρίαν οὐδὲν. ταῦτα μὲν οὖν πάντα δείκνυσι τὴν ἡδονὴν ὁμώνυμον. τῶν δὲ σωματικῶν καλουμένων ἡδονῶν αἱ μὲν εἰσὶν ἀναγκαῖαι ἅμα καὶ φυσικαὶ, ὧν χωρὶς ζῆν ἀδύνατον· ὡς αἱ ζοφαὶ αἱ τῆς ἐνδείας ἀναπληρωτικαὶ καὶ τὰ ἐνδύματα ἀναγκαῖα· αἱ δὲ φυσικαὶ μὲν, οὐκ ἀναγκαῖαι δὲ, ὡς αἱ κατὰ φύσιν καὶ κατὰ νόμον μίξεις. εἶναι γὰρ εἰς μὲν τὴν σπορὰν τοῦ παντὸς γένους συντελοῦσι, δυνατὸν δὲ καὶ χωρὶς αὐτῶν ἐν παρθενίᾳ ζῆν· αἱ δὲ

οὔτε ἀναγκαῖαι οὔτε φυσικαὶ, ὡς ἡ μέθη καὶ ἡ λαγνεία καὶ αἱ πλησμοναὶ τὴν χρείαν ὑποβαίνουσαι. οὔτε γὰρ εἰς ὀλιγοχρὸν τὸ γένος ἡμῶν συμβάλλονται ὡς ἡ κατὰ νόμον συνουσία· οὔτε εἰς σύστασιν τῆς ζωῆς, ἀλλὰ καὶ περιβλάπτουσι, τῷ τοίνυν κατὰ Θεὸν ζῶντι, μόνας μεταδιωκτέον τὰς ἀναγκαίας ἅμα καὶ φυσικὰς ἡδονάς· τῷ δὲ μετ' ἐκεῖνον ἐν δευτέρᾳ τάξει τῶν ἀρετῶν τεταγμένῳ, ταύτας τε καὶ τὰς φυσικὰς μὲν, οὐκ ἀναγκαίας δὲ μεπιτέον μετὰ τοῦ περισκοποῦντος καὶ μέτρου καὶ ζόπου καὶ καιροῦ καὶ τόπου, τὰς δὲ ἄλλας φευκτέον παντὶ τρόπῳ. ἁπλῶς δὲ ἡγητέον ταύτας εἶναι καλὰς ἡδονὰς τὰς μὴ συμπεπλεγμένας λύπῃ, μήτε μεταμέλειαν ἐμποιούσας, μήτε βλάβης ἑτέρας γενητικὰς, μήτε τοῦ μέτριου παραχωρούσας, μήτε τῶν σπουδαίων ἡμᾶς ἔργων ἀφελκούσας ἐπὶ πολὺ ἢ καταδουλούσας. κυρίως δὲ εἰσὶν ἡδοναὶ αἱ τῇ καθαρότητι τοῦ θείου καὶ ταῖς ὄψεσιν ἡμῶν καὶ ταῖς ἀρεταῖς ὑπομνόμεναί πως ἢ συμπεπλεγμέναι. ὥσπερ ἐν τοῖς πρώτοις λόγοις περισπουδάστοις θετέον. οὐκ εἰς τὸ εἶναι ἁπλῶς οὐδὲ εἰς τὴν ὀλιγοχρονὴν τοῦ γένους, ἀλλ' εἰς τὸ εὖ εἶναι καὶ σπουδαίοις καὶ θεοφιλέσιν εἶναι συντελοῦσας καὶ εἰς αὐτὴν τοῦ ἀνθρώπου τὴν καθ' ψυχὴν καὶ τὸ νοερὸν τελειότητα. αἵπερ οὔτε θεραπεῖαι τῶν παθῶν εἰσὶν ὡς αἱ τῆς ἐνδείας ἀναπληρωτικαὶ, οὐθ' ὅλως λύπην ἔχουσι προηγουμένην ἢ ἑπομένην, ἢ ἀντικειμένην, ἀλλ' εἰσὶ καθαραὶ καὶ ἄμικτοι πάσης ὑλικῆς

ὑλικῆς συμπλοκῆς ψυχικὴν μόνον οὖσαι· καὶ γὰρ καὶ Πλάτωνα, τῶν ἡδονῶν αἱ μὲν εἰσὶ ψευδεῖς, αἱ δὲ ἀληθεῖς· ψευδεῖς μὲν, ὅσαι μετ' ἀισθήσεως γίνονται καὶ δόξης οὐκ ἀληθοῦς, καὶ λύπας ἔχουσι συμπεπλεγμένας. ἀληθεῖς δὲ, ὅσαι τῆς ψυχῆς εἰσὶ μόνης αὐτῆς καθ' ἑαυτὴν μετ' ὄψεως ἡμῆς καὶ νοῦ καὶ φρονήσεως καθαραὶ καὶ ἀνεπίμικτοι λύπης, αἷς οὐδὲ μία μετάνοια ἀκολουθεῖ ποτὲ· καλοῦσι δὲ τὰς παρακολουθούσας τῇ θεωρίᾳ καὶ ταῖς καλαῖς πράξεσιν ἡδονὰς οὐ πάνυ, ἀλλὰ πείσῃ· τινὲς δὲ κυρίως τὴν τοιαύτην ἡδονὴν χαρὰν λέγουσιν· ὁρίζονται δὲ τὴν ἡδονὴν γένεσιν εἰς φύσιν, αἰσθητὴν. ἔοικε δὲ οὗτος ὁ ὅρος, τῆς σωματικῆς μόνης ἡδονῆς εἶναι. αὕτη γὰρ ἀναπλήρωσις τίς ἐστι, καὶ ἰατρεία τῆς σωματικῆς ἐνδείας· καὶ τῆς περιχυμένης διὰ τὴν ἔνδειαν λύπης. ῥιγοῦντες γὰρ ἢ διψῶντες, τὴν ἐν τῷ ῥίγους καὶ τῆς δίψης θεραπεύοντες λύπην, ἐν τῷ θάλπεσθαι καὶ πίνειν ἡδόμεθα· καὶ συμβεβηκὸς ἔν ἐστιν ἀγαθαὶ καὶ οὐ καθ' ἑαυτὰς, οὐδὲ φύσει. ὡς γὰρ τὸ ὑγιάζεσθαι καὶ συμβεβηκός ἐστιν ἀγαθὸν· τὸ δὲ ὑγιαίνειν φύσει καὶ καθ' ἑαυτὸ, οὕτω καὶ αὗται καὶ συμβεβηκὸς εἰσὶν ἀγαθαὶ ἰατρεῖαι τινὲς οὖσαι. αἱ δὲ τῆς εἰς θεωρίαν ἡδοναὶ καθ' ἑαυτὰς εἰσὶν ἀγαθαὶ καὶ φύσει. οὐ γὰρ ἐπ' ἐνδείᾳ γίνονται. δῆλον οὖν ἐντεῦθεν ὡς οὐ πάσα ἡδονὴ τῆς ἐνδείας, ἐστὶν ἀναπληρωτικὴ· εἰ δὲ τοῦτο, οὐχ ὑγιὴς ὁ ὅρος ὁ λέγων, γένεσιν εἰς φύσιν αἰσθητὴν εἶναι τὴν ἡδονήν. ἔ

γὰρ πάσας περιλαμβάνει τὰς ἡδονὰς, ἀλλὰ παραλείπει τὴν ἐκ τῆς θεωρίας· καὶ Ἐπίκουρος δὲ τὴν ἡδονὴν ὁριζόμενος, παντὸς τοῦ λυποῦντος ὑπεξαίρεσιν τὸ αὐτό φησι τοῖς λέγουσι γένεσιν εἰς φύσιν αἰσθητήν. τὴν γὰρ ἀπαλλαγὴν τοῦ λυποῦντος, ἡδονὴν εἶναι φησίν. ἐπεὶ δὲ ἡ εὐδεμία γένεσις τοῖς οἰκείοις ἀποτελέσμασιν ὁμοιότης ἐστὶν ἢ συγγενὴς, οὐ δὲ τὴν γένεσιν τῆς ἡδονῆς, ἡδονὴν ἡγητέον. ἀλλὰ παρὰ τὴν ἡδονὴν ἄλλό τι· ἐν τῷ γίνεσθαι μὲν γὰρ ἡ γένεσις ἐστὶν· οὐδὲν δὲ τῶν γινομένων ἅμα γίνεται καὶ γέγονεν· ἀλλὰ δῆλον ὅτι κατὰ μέρος· τὸ δὲ ἡδόμενον ἀθρόως ἥδεται· οὐκ ἄρα γένεσις ἡ ἡδονή. ἔτι πᾶσα γένεσις οὐκ ὄντων ἐστίν. ἡ δὲ ἡδονὴ τοῖς ἤδη οὖσιν. οὐκ ἔστιν ἄρα γένεσις ἡ ἡδονή. ἔτι γένεσις μὲν, ταχεῖα καὶ βραδεῖα λέγεται· ἡδονὴ δὲ οὔ· ἔτι τῶν ἀγαθῶν, τὰ μὲν ἕξις ἐστὶ, τὰ δὲ ἐνέργεια, τὰ δὲ ὄργανα. ἕξις μὲν ὡς ἀρετὴ· ἐνέργεια δὲ ὡς ἡ κατ' αὐτὴν πρᾶξις· καὶ πάλιν. ἕξις μὲν ἡ ὁρατικὴ· ἐνέργεια δὲ τὸ ὁρᾶν· ὄργανα δὲ, δι' ὧν ἐνεργοῦμεν, ὡς ὀφθαλμὸς καὶ πλοῦτος καὶ τὰ τοιαῦτα. πᾶσαι δὲ αἱ περὶ τὰ ἀγαθὰ καὶ φαῦλα ψυχικαὶ δυνάμεις ἕξεων τινῶν δυνάμεις. εἴπερ οὖν ἀγαθόν ἐστιν ἡδονὴ, οὐ φαῦλον, ἐν τούτοις ἔσται μόνοις· ἀλλ' ἕξις μὲν οὐκ ἔστιν. οὔτε γὰρ ὡς ἀρετὴ· οὐ γὰρ ἂν οὕτω ῥαδίως μετέπιπτεν εἰς τὴν ἐναντίαν ἑαυτῇ λύπην· οὔτε ὡς ἡ ἀντικειμένη τῇ στερήσει. κατὰ ταυτὸν γὰρ ἔξιν καὶ στέρησιν ἀδύνατον εἶναι· ἅμα δέ τινες ἥδονται καὶ λυποῦνται

ποῦνται ὡς οἱ κνώμυροι· οὐκ ἔστιν ἄρα ἕξις ἡ ἡδονὴ, ἀλλ' οὐδὲ ὄργανον· τὰ γὰρ ὄργανα καὶ δι' ἄλλα καὶ οὐ δι' ἑαυτά. ἡ δὲ ἡδονὴ, οὐ δι' ἄλλο, ἀλλὰ δι' ἑαυτήν· οὐκ ἄρα οὐδὲ ὄργανον λείπεται δὴ ἐνέργειαν αὐτὴν εἶναι. ὅθεν Ἀριστοτέλης αὐτὴν ὁρίζεται ἐνέργειαν τῆς κατὰ φύσιν ἕξεως. συμβαίνῃ δὲ κατὰ τὸν ὅρον τοῦτον τὴν εὐδαιμονίαν ἡδονὴν εἶναι καὶ διεσφάλθαι τὸν ὅρον· διορθούμενος οὖν ὡρίσατο τὴν ἡδονὴν τέλος εἶναι τῶν τοῦ ζώου κατὰ φύσιν ἀνεμποδίστων ἐνεργειῶν, ὡς συμπεπλέχθαι καὶ συνυπάρχειν τῇ εὐδαιμονίᾳ τὴν ἡδονὴν, ἀλλ' οὐχ' ἡδονὴν εἶναι τὴν εὐδαιμονίαν. οὐ πᾶσα δὲ ἐνέργεια κίνησις ἐστιν, ἀλλ' ἔστι τις καὶ δι' ἀκινησίας ἐνέργεια, καθ' ἣν πρῶτος ἐνεργεῖ ὁ Θεός· τὸ γὰρ πρῶτον κινοῦν ἀκίνητον. τοιαύτη δὲ καὶ ἡ τοῦ θεωρεῖν ἐν ἀνθρώποις ἐνέργεια. διὰ γὰρ ἀκινησίας· καὶ γὰρ τὸ θεωρούμενον ἓν καὶ ταυτὸν ἀεὶ καὶ ἡ διάνοια τοῦ θεωροῦντος ἔστηκε· περὶ ἓν γὰρ καὶ ταυτὸν ἀεὶ καταγίνεται. εἰ δὲ τῆς θεωρίας ἡ ἡδονὴ μεγίστη τε οὖσα καὶ κυριωτάτη καὶ ἀληθὴς δι' ἀκινησίας γίνεται, δῆλον ὡς αἱ δι' ἐλαττόνων κινήσεων γινόμεναι, ὅσῳ δι' ἐλαττόνων, τοσούτῳ καὶ κρείττους καὶ μείζους εἰσί. συνδιαιρεῖται δὲ ταῖς ἐνεργείαις αἱ ἡδοναὶ κατ' εἴδος· ὅσα γὰρ ἐνεργιῶν εἴδη, τοσαῦτα καὶ ἡδονῶν· καὶ τῶν μὲν καλῶν καλαὶ, τῶν δὲ φαύλων φαῦλαι· καὶ δῆλον ὡς καθ' ἑκάστην αἴσθησιν ἑτέραις τῷ εἴδει καὶ ἡδοναὶ. ἕτεραι γὰρ ἁφῆς καὶ γεύσεως καὶ ἕτεραι τῆς ὄψεως καὶ τῆς ἀκοῆς καὶ τῆς ὀσφρή-

σεως· καθαρώτεραι δὲ εἰσὶ τῶν αἰσθήσεων ὅσαι μὴ προσπελάζουσι τοῖς αἰσθητοῖς ἥδουσιν ὡς ὄψις καὶ ἀκοὴ καὶ ὄσφρησις· καὶ τῶν διανοητικῶν δὲ εἴδη δύο. τὸ μὲν γὰρ ἐστι πρακτικὸν, τόδε θεωρητικόν· δῆλον οὖν ὅτι δὲ τῶν ἡδονῶν τῶν παρεπομένων ταῖς ἐνεργείαις ταύταις εἴδη δύο· καὶ τούτων δὲ καθαρώτερον τὸ θεωρητικὸν τῶν πρακτικοῦ: τοῦ δὲ ἀνθρώπου ἰδίαι καθ' ὃ ἄνθρωπος αἱ διανοητικαὶ· κοιναὶ γὰρ καθ' ὃ ζῶον αἱ αἰσθητικαὶ καὶ πρὸς τὰ ἄλλα ζῶα· ἐπειδὴ δὲ τῶν αἰσθητικῶν ἡδονῶν οἱ μὲν ἄλλαις, οἱ δὲ ἄλλαις ἥδονται, οὐχ' αἱ τοῖς φαύλοις, ἀλλ' αἱ τοῖς σπουδαίοις καλαὶ φαινόμεναι, καὶ καθ' ἑαυτὰς εἰσὶ καλαί. κριτὴς γὰρ ὀρθὸς ἐπὶ παντὸς πράγματος οὐχ' ὁ τυχὼν, ἀλλ' ὁ ἐπιστήμων καὶ κατὰ φύσιν διακείμενος.

ΠΕΡΙ ΛΥΠΗΣ. ΚΕΦ. ΙΘ'.

ΤΗΣ δὲ λύπης εἴδη τέσσαρα, ἄχος, ἄχθος, φθόνος, ἔλεος. ἔστι δὲ ἄχος λύπη ἀφωνίαν ἐμποιοῦσα· ἄχθος δὲ λύπη βαρύνουσα· φθόνος δὲ λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· ἔλεος δὲ λύπη ἐπ' ἀλλοτρίοις κακοῖς, πᾶσα δὲ λύπη κακὸν τῇ ἑαυτῆς φύσει. εἰ γὰρ καὶ ὁ σπουδαῖος, λυπηθήσεται ποτὲ χρηστῶν ἀνδρῶν διαφθειρομένων ἢ τέκνων ἢ πόλεως πορθουμένης, ἀλλ' οὐ προηγουμένως· οὐ δὲ κατὰ πρόθεσιν, ἀλλὰ κατὰ περίστασιν· καὶ ἐν τούτοις δὲ ὁ μὲν θεωρητικὸς ἀπαθὴς ἔσται παντάπασιν ἀλλοτριώσας ἑαυτὸν τῶν τῇ δὲ καὶ συνάψας Θεῷ· ὁ δὲ σπουδαῖος μετριοπαθὴς ἐν αὐταῖς καὶ οὐχ' ὑπερβάλλων οὐ δὲ

δὲ αἰχμαλωτιζόμενος ὑπ' αὐτῶν· ἀλλὰ μᾶλλον κρατῶν αὐτῶν. ἀντίκειται δὲ λύπη ὡς μὲν κακὸν καλῷ τῇ μετρίᾳ ἡδονῇ. ὡς δὲ κακὸν κακῷ τῇ ὑπερβαλλούσῃ ἡδονῇ· ἐν ταῖς σωματικαῖς δὲ μόναις αἱ ὑπερβολαὶ γίνονται· αἱ γὰρ θεωρητικαὶ ἄκραι τινὲς οὖσαι καὶ τὸ τέλειον ἔχουσαι τὴν ὑπερβολὴν οὐκ ἐπιδέχονται * οὐ δὲ ἀντίκειται αὐταῖς λύπη, οὐδ' ἐπὶ θεραπείᾳ προηγησαμένης λύπης γίνονται. * οὐδὲ γὰρ

ΠΕΡΙ ΦΟΒΟΥ. ΚΕΦ. Κ.

ΔΙΑΙΡΕΙΤΑΙ δὲ καὶ ὁ φόβος εἰς ἓξ, εἰς ὄκνον, εἰς αἰδὼ, εἰς αἰσχύνην, εἰς κατάπληξιν, εἰς ἀγωνίαν, εἰς ἔκπληξιν· ἔστι δὲ ὄκνος μὲν φόβος μελλούσης ἐνεργείας· κατάπληξις δὲ φόβος ἐκ μεγάλης φαντασίας· ἔκπληξις δὲ φόβος ἐξ ἀσυνήθους φαντασίας· ἀγωνία δὲ φόβος διαπτώσεως, τουτέστιν ἀποτυχίας· φοβούμενοι γὰρ ἀποτυχεῖν τῆς πράξεως ἀγωνιῶμεν· αἰδὼς δὲ φόβος ἐπὶ προσδοκίᾳ ψόγου· κάλλιστον δὲ τοῦτο τὸ πάθος· αἰσχύνη δὲ φόβος ἐπ' αἰσχρῷ πεπραγμένῳ. οὐ δὲ τοῦτο δὲ ἀνέλπιστον εἰς οὐρανίαν· ταύτῃ δὲ διαφέρει αἰδὼς αἰσχύνης, ὅτι ὁ μὲν αἰσχυνόμενος ἐφ' οἷς ἔπραξε καταδύεται· ὁ δὲ αἰδούμενος φοβεῖται περιπεσεῖν ἀδοξίᾳ τινὶ· καλοῦσι δὲ οἱ παλαιοὶ πολλάκις καὶ τὴν αἰδὼ αἰσχύνην, καὶ τὴν αἰσχύνην αἰδὼ, καταχρώμενοι τοῖς ὀνόμασι· γίνεται δὲ ὁ φόβος κατὰ περίψυξιν τοῦ θερμοῦ παντὸς συντρέχοντος εἰς τὴν καρδίαν ἐπὶ τὸ ἀρχικὸν· καθάπερ καὶ ὁ δῆμος ὅταν φοβῆται καταφεύγει πρὸς τοὺς ἄρχοντας.

τῆς

τῆς δὲ λύπης ὄργανον τὸ στόμα τῆς κοιλίας. τοῦτο γὰρ ἐστὶ τὸ τῆς δήξεως αἰσθανόμενον ἐν ταῖς λύπαις. ὡς
„ ὁ Γαληνὸς ἐν τῷ τρίτῳ τῆς ἀποδεικτικῆς φησὶν
„ οὕτωπως. τοῖς λυπουμένοις οὐκ ὀλίγον εἰς τὴν γα-
„ στέρα καταῤῥεῖ ξανθῆς χολῆς· ὃ τὴν δῆξιν αὐτοῖς παρ
„ έχει καὶ οὐ πρότερον πάυονται λυπούμενοι καὶ δακ-
„ νόμενοι, πρὶν ἐξεμέσαι τὴν χολὴν· γίνεται γὰρ ἡ δῆ-
ξις αὐτοῖς ὑπὸ κάτω τοῦ κατὰ μέσα στέρνα χόνδρου τοῦ
ξιφοειδοῦς ὀνομαζομένου, πολὺ δὲ ἀνωτέρω κεῖται
ἡ καρδία· τοῦ γὰρ διαφράγματος ἡ μὲν γαστὴρ κατω-
τέρω ἐστὶν. ἡ δὲ καρδία ἀνωτέρω, συνήθως δὲ οἱ πα
λαιοὶ καρδίαν καὶ τὸ στόμα τῆς γαστρὸς καλοῦσιν, ὡς
Ἱπποκράτης καὶ Θουκυδίδης ἐν τῷ λοιμῷ λέγων
οὕτως, καὶ ὁπότε εἰς τὴν καρδίαν στηρίξαι ἀνέστρε-
φέ τε αὐτὴν καὶ ἀποκαθάρσεις χολῆς. πᾶσαι ὁ πό-
σαι ἀπὸ ἰατρῶν ὠνομασμέναι εἰσὶν ἐπήεσαν· τὸ
γὰρ ἀναστρεφόμενον τὸ στόμα τῆς γαστρός ἐστιν ἀναγ-
καζόμενον ἐμεῖν οὐ τὸ σπλάγχνον ἡ καρδία.

ΠΕΡΙ ΘΥΜΟΥ ΚΕΦ. ΚΑ.

ΘΥΜΟΣ δέ ἐστι ζέσις τοῦ περὶ καρδίαν αἵμα-
τος ἐξ ἀναθυμιάσεως τῆς χολῆς ἢ ἀναθολώσεως
γινομένη· διὸ καὶ χολὴ λέγεται καὶ χόλος. ἔστι δ' ὅτε
καὶ ὁ θυμός ἐστιν ὄρεξις ἀντιτιμωρήσεως. ἀδικούμε-
νοι γὰρ ἢ νομίζοντες ἀδικεῖσθαι θυμούμεθα· καὶ γί-
νεται τότε μικτὸν τὸ πάθος ἐξ ἐπιθυμίας καὶ θυ-
μοῦ. εἴδη δὲ τοῦ θυμοῦ τρία· ὀργὴ, ἡ καὶ χολὴ καὶ χό-
λος καλεῖται· μῆνις, καὶ κότος· θυμὸς μὲν γὰρ ἀρχὴν
καὶ

καὶ κίνησιν ἔχων· ὀργὴ καὶ χολὴ καὶ χόλος λέγεται.
μῆνις δὲ χολὴ εἰς παλαίωσιν ἀγομένη. εἴρηται γὰρ
παρὰ τὸ μένειν καὶ τῇ μνήμῃ παραδεδόσθαι· κότος
δὲ ὀργὴ ἐπιτηροῦσα καιρὸν εἰς τιμωρίαν· εἴρηται δὲ
καὶ οὗτος παρὰ τὸ κεῖσθαι· ἔστι δὲ ὁ θυμὸς τὸ δορυ-
φορικὸν τοῦ λογισμοῦ. ὅταν γὰρ οὗτος ἄξιον κρίνῃ τὸ
γινόμενον ἀγανακτήσεως, τότε ὁ θυμὸς ὑπεξέρχε-
ται, ἐὰν κατὰ φύσιν τὴν οἰκείαν τάξιν φιλάττωσιν.

ΠΕΡΙ ΤΟΥ ΑΛΟΓΟΥ ΤΟΥ ΜΗ ΚΑ-ΤΗΚΟΟΥ ΛΟΓΩ. ΚΕΦ. ΚΒ.

ΤΟ μὲν οὖν ἐπιπειθὲς λόγῳ τοῦτον ἔχει τὸν τρό-
πον, τοῦ δὲ μὴ πειθομένου λόγῳ· ἔστι τό τε θρεπτικὸν
καὶ γεννητικὸν καὶ σφυγμικὸν· καλεῖται δὲ φυσι-
κὸν μὲν, τὸ γεννητικὸν καὶ θρεπτικὸν· ζωτικὸν δὲ τὸ
σφυγμικόν.

ΠΕΡΙ ΤΟΥ ΘΡΕΠΤΙΚΟΥ. ΚΕΦ. ΚΓ.

ΤΟΥ θρεπτικοῦ φυσικαὶ δυνάμεις εἰσὶ τέσσα
ρες, ἑλκτικὴ, καθεκτικὴ, ἀλλοιωτικὴ, ἀποκριτικὴ·
ἕκαστον γὰρ τῶν μορίων τοῦ ζώου φυσικῶς ἕλκει πρὸς
ἑαυτὸ τὴν οἰκείαν τροφὴν καὶ ἑλκύσαν κατέχει καὶ
κατασχὸν εἰς ἑαυτὸ μεταβάλλει, καὶ οὕτως τὸ πε-
ριττὸν ἐξωθεῖ· καὶ αὗται εἰσὶν αἱ δυνάμεις αἱ τὴν
τροφὴν τῶν μορίων τοῦ σώματος διοικοῦσαι. ἐξ ὧν
ἡ αὔξησις ἥτε κατὰ μῆκος καὶ πλάτος γίνεται· ἐκκρίνε-
ται δὲ τὰ περιττὰ διὰ γαστρὸς, δι' οὔρων, δι' ἐμε-
τῶν, δι' ἱδρώτων, διὰ στόματος, διὰ ῥινῶν, δι' ὤτων,
δι' ὀφθαλμῶν, διὰ τῆς ἐκπνοῆς, διὰ τῶν ἀδήλων
πόρων.

πόρων. αἱ μὲν οὖν ἄλλαι ἐκκρίσεις, πρόδηλοι, δι' ὤτων δὲ ἡ καλουμένη κυψελὴ, ἥτις ἐστὶ ῥύπος τῶν ὤτων· διὰ δὲ τῶν ὁ φθαλμῶν δάκρυα καὶ λῆμαι. διὰ δὲ τῆς ἐκπνοῆς τὸ λιγυνῶδες τῆς θερμότητος τῆς καρδίας· ἀδήλους δὲ πόρους φασὶ τὴν διαπνοὴν παντὸς τοῦ σώματος· καθ' ἣν ἐκ τοῦ βάθους καὶ τῆς συστολῆς τῶν ἀρτηρίων ἀτμοὶ πλεῖστοι διὰ τῆς μανότητος τοῦ δέρματος διεξέρχονται· ὄργανα δὲ τοῦ θρεπτικοῦ, τό τε στόμα καὶ ὁ στόμαχος καὶ ἡ γαστὴρ καὶ τὸ ἧπαρ αἵτε φλέβες πᾶσαι, τά τε ἔντερα καὶ αἱ χολαὶ ἀμφότεραι, καὶ οἱ νεφροὶ. τὸ γὰρ στόμα πρῶτον προκατασκευάζει τῇ γαστρὶ τὴν τροφὴν εἰς λεπτὰ κατατέμνον αὐτὴν διὰ τῶν ὀδόντων καὶ τῆς γλώττης· μεγίστην γὰρ καὶ ἡ γλῶττα χρείαν παρέχεται τῇ διαμασήσει συνάγουσα τὴν τροφὴν καὶ τοῖς ὀδοῦσιν ὑποβάλλουσα καθάπερ αἱ ἀλετρίδες διὰ τῆς χειρὸς τὸν σίτον ταῖς μύλαις· τρόπον γὰρ τινα καὶ ἡ γλῶττα χείρ ἐστι τῆς διαμασήσεως· οὕτω δὲ κατεργασθεῖσα ἡ τροφὴ, παραπέμπει τῇ κοιλίᾳ διὰ τοῦ στομάχου· ὁ γὰρ στόμαχος οὐ μόνον αἰσθητήριόν ἐστι τῆς ἐνδείας, ἀλλὰ καὶ δίοδος τῶν σιτίων. ἀνατρέχει γὰρ ἐν τῇ καταπόσει καὶ ἐπισπᾶται τὴν τροφὴν, καὶ παραπέμπει τῇ κοιλίᾳ. ἡ δὲ κοιλία παραλαβοῦσα χωρίζει τὸ χρηστὸν καὶ τὸ τρόφιμον ἀπὸ τοῦ λιθώδους καὶ ξυλώδους καὶ ἀτρόφου· καὶ τὸ μὲν χρηστὸν εἰς χυμοὺς μεταβάλλουσα ἀναπέμπει τῷ ἥπατι διὰ τῶν φλεβῶν τῶν ἑλκουσῶν ἀπ' αὐτῆς καὶ διοχετευουσῶν εἰς τὸ ἧπαρ, αἵτινες

αἵτινες φλέβες ῥίζαις ἐοίκασι τοῦ ἥπατος ἑλκούσαις ἀπὸ τῆς γαστρὸς τὴν τροφὴν, ὡς ἀπὸ τῆς γῆς ἕλκουσι αἱ τῶν φυτῶν ῥίζαι· ἔοικε γὰρ ἡ μὲν κοιλία τῇ γῇ τῇ παρεχούσῃ τὴν τροφὴν τοῖς φυτοῖς. ῥίζαις δὲ αἱ φλέβες, αἱ ἐπὶ τὰς πύλας καὶ τὰ σιμὰ τοῦ ἥπατος ἀνάγουσαι τὸν χυμὸν ἀπὸ τῆς γαστρὸς καὶ τῶν ἐντερῶν διὰ τοῦ μεσαραίου· πρέμνῳ δὲ τὸ ἧπαρ αὐτὸ. κλάδοις δὲ καὶ ἀκρέμοσιν αἱ φλέβες αἱ καταχιζόμεναι τῆς κοίλης φλεβὸς τῆς ἀποφυομένης ἐκ τῶν κυρτῶν τοῦ ἥπατος. τὸ γὰρ ἧπαρ δεξάμενον ἐκ τῆς κοιλίας τὸν χυμὸν συμπέσσειτε καὶ ἐξομοιοῖ ἑαυτῷ. ὁμοιοτάτην δὲ ἔχον τὴν σάρκα τῷ αἵματι εἰκότως εἰς αἷμα μεταβάλλει τὸν χυμὸν· τὸ δὲ αἷμα καθαίρεται διάτε τοῦ σπληνὸς καὶ τῆς χολιδόχου κύστεως καὶ τῶν νεφρῶν· τοῦ μὲν σπληνὸς τὸ τρυγῶδες ἕλκοντος καὶ τροφὴν οἰκείαν ποιουμένου· τῆς δὲ χολιδόχου κύστεως τὸ δριμὺ τὸ ἐναπομεῖναν τοῖς χυμοῖς ἐκ τῆς τροφῆς· τῶν δὲ νεφρῶν τὸ ὀρρῶδες μετὰ τοῦ περιλειπομένου δριμέος ὡς καθαρὸν λοιπὸν καὶ χρηστὸν τὸ αἷμα γενόμενον εἰς τροφὴν διανέμεσθαι τοῖς ἄλλοις πᾶσι μορίοις τοῦ σώματος διὰ τῶν κατασπειρομένων εἰς αὐτὰ φλεβῶν· καὶ οὕτως ἕκαστον τῶν μοριῶν ἕλκον τὸ αἷμα καὶ κατέχον καὶ μεταβάλλον εἰς τὴν ἰδίαν φύσιν, τὸ περιττὸν παραπέμπει τοῖς γειτνιῶσι μορίοις τροφὴν ἐπιτήδειον ἐκείνοις γενόμενον. καὶ τοῦτον τὸν τρόπον πάντα τὰ μόρια ἐξ αἵματος τρέφεται καὶ αὔξει καὶ διαμένει χορηγοῦντος αὐτὸ

αὐτὸ τ̃ ἥπατος· λέγεται δὲ τοῦτο τὸ μέρος τ̃ ἀλόγου μὴ πείθεσθαι λόγῳ, ἐπεὶ δ ἥπερ οὐ κ̃ γνώμιμον ἡμῶν, οὐδὲ κ̃ προαίρεσιν, ἀλλὰ φυσικῶς τὸ ἴδιον ἔργον ἀποτελεῖ.

ΠΕΡΙ ΣΦΥΓΜΩΝ. ΚΕΦ. ΚΔ'.

Η ΔΕ σφυγμικὴ κίνησις καλεῖται μὲν ἡ ζωτικὴ δύναμις· ἔχουσα δὲ τὴν καρδίαν ἀρχήν, ἡ μάλιστα τὴν ἀριστερὰν αὐτῆς κοιλίαν τὴν πνευματικὴν καλουμένην τὴν ἔμφυτον ἢ ζωτικὴν θερμότητα διανέμει παντὶ μορίῳ τοῦ σώματος διὰ τῶν ἀρτηρίων, καθάπερ τὸ ἧπαρ διὰ τῶν φλεβῶν τὴν τροφήν. θερμαινομένης γοῦν τῆς καρδίας παρὰ φύσιν εὐθέως καὶ τὸ ὅλον ζῶον παρὰ φύσιν θερμαίνεται, ἢ ψυχομένης ψύχεται. τὸ γὰρ ζωτικὸν πνεῦμα παρ' αὐτῆς διὰ τ̃ ἀρτηρίων εἰς πᾶν τὸ σῶμα καταπείρεται. συγκαταχίζεται δὲ ὡς ἐπὶ τὸ πλεῖστον ἀλλήλοις τὰ ζῶια ταῦτα· φλὲψ, ἀρτηρία, νεῦρον, ὧν τῶν ζωῶν ἀρχῶν τῶν διοικουσῶν τὸ ζῶον. ἐξ ἐγκεφάλου μὲν ἀρχῆς ὄντος κινήσεώς τε καὶ αἰσθήσεως τὸ νεῦρον. ἐξ ἥπατος δὲ ἀρχῆς ὄντος αἵματός τε καὶ τ̃ θρεπτικοῦ ἡ φλὲψ τὸ ἀγγεῖον τοῦ αἵματος· ἐκ δὲ τ̃ καρδίας ἀρχῆς οὔσης τοῦ ζωτικοῦ ἡ ἀρτηρία τὸ ἀγγεῖον τ̃ πνεύματος· συνόντα δὲ ἀλλήλοις τὰς παρ' ἀλλήλων ὠφελείας καρποῦνται. ἡ μὲν γὰρ φλὲψ τροφὴν χορηγεῖ τῷ νεύρῳ καὶ τῇ ἀρτηρίᾳ· ἡ δὲ ἀρτηρία δίδωσι τῇ φλεβὶ θερμασίας φυσικῆς ἢ πνεύματος ζωτικοῦ. ὅθεν οὔτε ἀρτηρίαν ἐστὶν εὑρεῖν χωρὶς αἵματος

αἵματος λεπτοῦ, οὔτε φλέβα χωρὶς πνεύματος ἀτμώδους· ὀλιγέλλεται δὲ σφοδρῶς ἢ συνέλλεται ἡ ἀρτηρία καθ' ἁρμονίαν τινὰ ἢ λόγον, τὴν ἀρχὴν ἔχουσα τ̃ κινήσεως ἐκ τ̃ καρδίας. ἀλλὰ ὀλιγελλομένη μὲν ἐκ τ̃ παρακειμένων φλεβῶν ἕλκει τῇ βίᾳ τὸ λεπτὸν αἷμα· ὅπερ ἀναθυμιώμενον ζοφὴ γίνεται τῷ ζωτικῷ πνεύματι, συνελλομένη δὲ τὸ ἀιθαλῶδες τὸ ἐν αὐτῇ κενοῖ διὰ παντὸς τ̃ σώματος ἢ τ̃ ἀδήλων πόρων· ὡς διὰ τὸ σώματος ἢ τῆς ῥινὸς ἡ καρδία τὸ λιγνυῶδες ἐν ταῖς ἐκπνοαῖς ἀνωθεῖται.

ΠΕΡΙ ΤΟΥ ΓΕΝΝΗΤΙΚΟΥ ΚΑΙ ΣΠΕΡΜΑΤΙΚΟΥ. ΚΕΦ. ΚΕ'.

ΚΑΙ τὸ γονιμικὸν δὲ τῶν μορίων ἐστὶ τ̃ μὴ κατηκόου λόγῳ· ἀβελήτως γὰρ ἐν ταῖς ὀνειρώξεσι προϊέμενον τὴν γονήν. ἢ ἡ ὀπιθυμία δὲ τῆς συνουσίας φυσική. ἀκούοντες γὰρ ἐπ' αὐτὴν κινούμεθα· ἡ δὲ πρᾶξις ὁμολογουμένως ἐφ' ἡμῖν καὶ ψυχική· καὶ γὰρ διὰ τ̃ καθ' ὁρμὴν ὀργάνων συντελεῖται· ἢ ἀποχέεσθαι δ ὁρμῆς καὶ κρατῆσαι ἐφ' ἡμῖν ἐστιν· ὄργανα δὲ τῆς σπερματικῆς δυνάμεως πρῶτα αἱ φλέβες καὶ αἱ ἀρτηρίαι. ἐν ταύταις γὰρ τὸ θορῶδες πρῶτον ὑγρὸν τίκτεται μεταβληθέντος τοῦ αἵματος, καθάπερ ἐν ταῖς τίτθοις τὸ γάλα. ζοφὴ γὰρ τοῦ ἀγγείων τούτων ἐστὶν ὁ χυμὸς οὗτος· καὶ γὰρ τὴν ἀρχὴν ἐκ σπέρματος ἡ γένεσις αὐτοῖς ἐστιν. ἐκπίπτουσι μὲν ἐν αἱ ἀρτηρίαι καὶ αἱ φλέβες τὸ αἷμα εἰς τὸ θορῶδες ὑγρὸν, ἵνα ζέφωνται. τὸ δὲ περιττεῦον τῆς ζοφῆς

αὐτῶν γίνεται γονὴ· ἀναφέρεται γὰρ πρῶτον μὲν διὰ περιόδου πολλῆς εἰς τὴν κεφαλὴν· πάλιν δὲ ἀπὸ τῆς κεφαλῆς καταφέρεται διὰ δύο φλεβῶν καὶ δύο ἀρτηριῶν. ὅθεν ἐὰν τὶς ἐκτέμῃ τὰς φλέβας τὰς περὶ τὰ ὦτα καὶ τὰς περὶ τὰς παρωτίδας, ἄγονον ποιεῖ τὸ ζῶον. αὗται δὲ αἱ φλέβες καὶ ἀρτηρίαι γίνονται τὸ ἐλικοειδὲς καὶ κιρσοειδὲς πλέγμα παρὰ τὸν ὀχέον, ἔνθα τὸ θορῶδες ὑγρὸν ἐμπίπτει εἰς ἑκάτερον τῶν διδύμων· μία ἀρτηρία καὶ μία φλὲψ πλήρης σπέρματος· ἐν τούτοις δὲ τελείως ἀποσπερματοῦται· καὶ διὰ τοῦ κιρσοειδοῦς παραστάτου τοῦ μετὰ τοὺς διδύμους ἐκκρίνεται μετὰ πνεύματος. διότι καὶ ἀρτηρία ἐστὶν ἡ πέμπουσα. ὅτι δὲ καὶ ἀπὸ φλεβὸς φέρεται δῆλον ἐστὶν ἐκ τῆς λαγνείας. ὅταν γὰρ ἐπὶ πολὺ συνουσιάσωσι καὶ καταναλώσωσι τὸν σπερματικὸν καὶ θορώδη χυμὸν τότε καὶ ὑπὸ τῆς βιαίας ὁλκῆς, αἷμα καθαρὸν ἐκκρίνουσι· καὶ αἱ γυναῖκες δὲ πάντα τὰ αὐτὰ τοῖς ἀνδράσιν ἔχουσι μόρια, ἀλλ' ἔνδον καὶ οὐκ ἔξω. Αριστοτέλης μὲν οὖν καὶ Δημόκριτος, οὐδὲν βούλονται συντελεῖν τὸ τῆς γυναικὸς σπέρμα πρὸς γένεσιν τέκνων· τὸ γὰρ προϊέμενον ἐκ τῶν γυναικῶν ἱδρῶτα τοῦ μορίου μᾶλλον ἢ γονὴν εἶναι βούλονται· Γαλήνος δὲ καταγινώσκων Αριστοτέλης λέγει σπερμαίνειν μὲν τὰς γυναῖκας καὶ τὴν μίξιν ἀμφοτέρων τῶν σπερμάτων ποιεῖν τὸ κύημα. διὸ καὶ τὴν συνουσίαν μίξιν λέγεσθαι. οὐ μὴν τελείαν γονὴν ὡς τὴν τοῦ ἀνδρὸς, ἀλλ' ἔτι ἄπεπτον καὶ ὑγροτέραν· τοιαύτη δὲ

οὖσα

οὖσα τῆς γυναικὸς ἡ γονὴ τροφὴ γίνεται τῆς τοῦ ἀνδρὸς. ἐξ αὐτῆς δὲ καὶ μέρος τὶ τῶν χωρίου τῶν περὶ τὰς κεραίας τῆς μήτρας συμπήγνυται, καὶ ὁ καλούμενος ἀλαντοειδὴς δοχεῖον ὢν τῶν περιττωμένων τοῦ ἐμβρύου· καθ' ἕκαστον δὲ γένος ζώου τό τε προσίεται ἡ θήλεια τὸν ἄῤῥενα, ὅταν δύνηται κυΐσκεσθαι. τὰ τοίνυν ἀεὶ δυνάμενα κυΐσκεσθαι ἀεὶ προσίεται τὴν συνουσίαν. ὡς ἀλεκτορίδες καὶ περιστεραὶ καὶ ἄνθρωποι· ἀλλὰ τὰ μὲν ἄλλα κύοντα, τὴν σύνοδον ἀποφεύγει. γυνὴ δὲ ἀεὶ προσδέχεται. αἱ γὰρ ἀλεκτορίδες τῷ καθ' ἑκάστην ἡμέραν σχεδὸν τίκτειν καθ' ἑκάστην σχεδὸν προσίενται τὴν συνουσίαν· αἱ δὲ γυναῖκες ὡς ἐν τοῖς ἄλλοις τὸ αὐτεξούσιον ἔχουσιν, οὕτω καὶ ἐν τῇ συνουσίᾳ τῇ μετὰ τὴν σύλληψιν· τὰ γὰρ ἄλογα τῶν ζώων οὐκ ἀφ' ἑαυτῶν ἀλλ' ὑπὸ τῆς φύσεως κανονίζεται, καὶ μέτρα καὶ καιρὸν ὡρισμένον δέχεται.

ΑΛΛΗ ΔΙΑΙΡΕΣΙΣ ΤΩΝ ΔΙΟΙΚΟΥΣΩΝ ΔΥΝΑΜΕΩΝ ΤΟ ΖΩΟΝ. ΚΕΦ. ΚΣΤ'.

ΔΙΑΙΡΟΥΣΙ δὲ καὶ ἄλλως τὰς κατὰ τὸ ζῶον δυνάμεις. καὶ τὰς μὲν λέγουσι ψυχικὰς, τὰς δὲ φυσικὰς, τὰς δὲ ζωτικάς· καὶ ψυχικὰς μὲν τὰς κατὰ προαίρεσιν. φυσικὰς δὲ καὶ ζωτικὰς τὰς ἀπροαιρέτους· καὶ εἰσὶ ψυχικαὶ μὲν, δύω· ἥ, τε καθ' ὁρμὴν κίνησις καὶ αἴσθησις· τῆς δὲ καθ' ὁρμὴν κινήσεως εἴδη τό τε μεταβατικὸν καὶ κινητικὸν τοῦ σώματος παντὸς καὶ φωνητικὸν καὶ ἀναπνευστικόν. ἐν ἡμῖν γὰρ ταῦ-

τα καὶ

τα καὶ ποιεῖν καὶ μὴ ποιεῖν. φυσικαὶ δὲ καὶ ζωτικαὶ αἱ οὐκ ἐφ' ἡμῖν, ἀλλὰ καὶ ἑκόντων καὶ ἀκόντων γινόμεναι ὡς ἡ θρεπτικὴ καὶ αὐξητικὴ καὶ σπερματικὴ φυσικαὶ οὖσαι· καὶ ἡ σφυγμικὴ ζωτικὴ οὖσα· τὰ δὲ ὄργανα τῶν μὲν ἄλλων ἔμπροσθεν εἴρηται· τῆς δὲ κατὰ προαίρεσιν κινήσεως νῦν ἐροῦμεν.

ΠΕΡΙ ΤΗΣ ΚΑΘ' ΟΡΜΗΝ Η ΚΑΤΑ ΠΡΟΑΙ=
ρεσιν κινήσεως ἥτις ἐστὶ τοῦ ὀρεκτικοῦ. ΚΕΦ. ΚΖ'.

ΕΣΤΙΝ οὖν τῆς κατὰ προαίρεσιν ἢ καθ' ὁρμὴν κινήσεως, ἀρχὴ μὲν ὁ ἐγκέφαλος καὶ ὁ νωτιαῖος μυελὸς ἐγκεφάλου μέρος ὢν καὶ αὐτός. ὄργανα δὲ τὰ ἐκ τούτων πεφυκότα νεῦρα καὶ οἱ σύνδεσμοι καὶ οἱ μῦες. οἱ δὲ μύες συνεστήκασιν ἔκτε σαρκῶν καὶ νευρωδῶν ἰνῶν καὶ τενόντων συμπεπλεγμένων ταῖς τῶν νεύρων ἴσιν. ὅθεν τινὲς ὠήθησαν αὐτοὺς αἰσθητικοὺς εἶναι διὰ τὴν γινομένην ἐκ τῶν συμπεπλεγμένων αὐτοῖς νεύρων αἴσθησιν. ἔστιν οὖν ὁ τένων σύνθετος ἔκ τε συνδέσμου καὶ νεύρων λεπτῶν· διαφέρει δὲ νεύρου τένων· ὅτι πᾶν μὲν νεῦρον αἰσθητικὸν ἐστὶ καὶ στρογγύλον καὶ ἁπαλώτερον καὶ ἀπ' ἐγκεφάλου τὴν ἀρχὴν ἔχει. ὁ δὲ τένων καὶ σκληρότερος καὶ ἐξ ὀστέου καὶ ἀναίσθητος καθ' ἑαυτὸν καὶ ἐσθ' ὅτε πλατύς. εἰσὶ δὲ αἱ μὲν χεῖρες ἀντιληπτικὸν ὄργανον καὶ πρὸς τὰς τέχνας ἐπιτηδειότατον. ἐὰν γὰρ τις ἀφέλῃ τὰς χεῖρας ἢ μόνους τοὺς δακτύλους τῶν χειρῶν, εἰς πάσας σχεδὸν τὰς τέχνας ἀχρηστότατον ποιεῖ τὸν ἄνθρωπον. διὸ καὶ μόνος ἄνθρωπος, ἐπειδὴ λογικὸς ἐστὶ καὶ τεχνῶν δεκτικὸς

τικὸς, χεῖρας ἔσχε παρὰ τοῦ δημιουργοῦ· οἱ δὲ πόδες μεταβατικὸν ὄργανον. τὴν γὰρ κατὰ τόπον κίνησιν διὰ τούτων ποιούμεθα· μόνος δὲ ἄνθρωπος καθέζεται μηδενὸς ἐρείσματος δεόμενος. μόνος γὰρ πρὸς δύο γωνίας ὀρθὰς κάμπτει τὰ σκέλη κατά τε τὸ ἰσχίον καὶ τὴν ἰγνῦν· τὴν μὲν ἐπὶ τὰ ἔνδον· τὴν δὲ ἐπὶ τὰ ἔξω. ὅσα τοίνυν διὰ νεύρων καὶ μυῶν κινεῖται, ταῦτα πάντα ψυχικά τε ἐστὶ καὶ κατὰ προαίρεσιν ἀποτελεῖται. τούτων δὲ καὶ τὰς αἰσθήσεις καὶ τὴν φωνὴν ἐδείξαμεν εἶναι. αὕτη μὲν οὖν ἐστιν ἡ κατὰ λόγον τῶν τε ψυχικῶν καὶ φυσικῶν ἔργων διάγνωσις. ὁ δὲ δημιουργὸς κατὰ τὴν ἄκραν ἑαυτοῦ προμήθειαν συνέπλεξε τοῖς φυσικοῖς τὰ ψυχικά. καὶ ἀνάπαλιν. ἐπειδὴ γὰρ ἡ ἔκκρισις τῶν περιττωμάτων τῆς ἀποκριτικῆς ἐστι δυνάμεως, ἥ τις μία τῶν φυσικῶν ἐστι δυνάμεων, ἵνα μὴ ἀπροαιρέτως ἀσχημονῶμεν, ἔνθα οὐ δεῖ καὶ ὅτε οὐ δεῖ καὶ ἐφ' ὧν οὐ δεῖ προϊέμενοι, πυλωροὺς τινὰς ἐπέστησε ταῖς ἐκκρίσεσι τοὺς μύς, καὶ οὕτως ἐποίησε τὰ τῆς φύσεως ἔργα ψυχικά. τὰς γοῦν ἐκκρίσεις ἐπέχειν διὰ τούτου δυνάμεθα καὶ πολλάκις καὶ ἐπὶ πολύ· καταπέμπεται δὲ τὰ μὲν αἰσθητικὰ καὶ μαλακὰ νεῦρα ἀπό τε τῆς μέσης καὶ τῶν ἔμπροσθεν κοιλιῶν τῶν ἐγκεφάλου. τὰ δὲ σκληρότερα καὶ κινητικὰ ἀπὸ τῆς ὄπισθεν κοιλίας καὶ τῶν νωτιαίου μυελοῦ· σκληρότερα δὲ μᾶλλον ἐστὶ τὰ ἐκ τῶν νωτιαίου. καὶ τούτων δὲ ἔτι μᾶλλον τὰ ἐκ τῶν κάτωθεν μερῶν τοῦ νωτιαίου. ὅσῳ γὰρ πλέον ἀποχωρεῖ τῶν ἐγκεφάλου ὁ νω-

τιαῖος τοσούτῳ πλέον αὐτός τε σκληρότερος γίνεται καὶ τὰ νεῦρα τὰ ἐξ αὐτοῦ φυόμενα. ὥσπερ δὲ τὰς αἰσθήσεις διπλὰς ἐλάβομεν, οὕτως καὶ τὰς ἐκφύσεις τῶν νεύρων διπλὰς ἔχομεν. ἕκαστος γὰρ σφόνδυλος τοῦ νωτιαίου συζυγίαν ἐκπέμπει νεύρων. ἧς τὸ μὲν ἐπὶ τὰ δεξιὰ μέρη τοῦ σώματος χωρεῖ, ἕτερον δὲ ἐπὶ τὰ ἀριστερά. σχεδὸν γὰρ ὅλον ἡμῶν τὸ σῶμα εἰς δύο μεμερίσται, εἰς δεξιὰ καὶ ἀριστερὰ. οὕτω καὶ πόδες καὶ χεῖρες καὶ τῶν ἄλλων ἕκαστον. ὡς καὶ τῶν αἰσθητηρίων.

ΠΕΡΙ ΑΝΑΠΝΟΗΣ. ΚΕΦ. ΚΗ.

ΚΑΙ ἡ ἀναπνοὴ δὲ τῶν ψυχικῶν ἐστιν ἔργον· καὶ γὰρ μῦες εἰσὶν οἱ διαστέλλοντες τὸν θώρακα τὸ κυριώτατον τῆς ἀναπνοῆς ὄργανον. καὶ ἡ ἀθρόα καὶ στεραγμώδης ἀναπνοὴ ἐπὶ ταῖς μεγάλαις λύπαις γινομένη ψυχικὴν δείκνυσι τὴν ἐνέργειαν· ἐφ' ἡμῖν δὲ καὶ αἱ κατὰ τὴν χρείαν τῆς ἀναπνοῆς μεταβολαί. ἀλγοῦντες γάρ τι τῶν ἀναπνευστικῶν μορίων ἢ τῶν συγκινουμένων αὐτοῖς, οἷον τῶν διαφράγματος ἢ τῶν ἥπατος, ἢ τῶν σπληνὸς, ἢ τῆς κοιλίας καὶ τῶν λεπτῶν ἐντέρων καὶ τῶν κώλου, μικρὸν καὶ πυκνὸν ἀναπνέομεν· μικρὸν μὲν, ἵνα μὴ σφοδρότερον πλήττωμεν τὸ ἀλγοῦν μόριον· πυκνὸν δὲ, ἵνα τὸ λεῖψαν κατὰ τὸ μέγεθος ἡ πυκνότης ἀναπληρώσῃ· καὶ γὰρ ὅταν ἀλγῶμεν τὸ σκέλος, ἐπ' ὀλίγον ἐκτείνομεν αὐτὸ, βαδίζοντες διὰ τὴν αὐτὴν αἰτίαν, δι' ἣν καὶ τὴν ἀναπνοὴν. ὥσπερ οὖν καὶ τὸ βαδίζειν ψυχικὸν, οὕτω καὶ τὸ τῆς ἀναπνοῆς.

ἀλλ'

ἀλλ' ἡ συχάζοντες μὲν καὶ μὴ βαδίζοντες ἐπὶ πλεῖστον χρόνον ζῆν δυνάμεθα. τὴν δὲ ἀναπνοὴν οὐ δὲ δέκατον ὥρας μέρος ἐπισχεῖν οἷόν τε· καταπνιγόμενον γὰρ τὸ ἐν ἡμῖν θερμὸν ἐκ τῆς αἰθαίης κατασβέννυται, καὶ παραχρῆμα θάνατον ἐπάγει· καὶ γὰρ εἰ φλόγα τίς σκεπάσει ἐν ἀγγείῳ τινὶ, διαπνοὴν οὐκ ἔχοντι, ἀποσβέσειεν ἂν αὐτὴν καταπνιγεῖσαν ἀπὸ τῆς λιγνύος· διὰ ταύτην οὖν τὴν ἀνάγκην καὶ κοιμωμένων ἡμῶν οὐδὲν ἧττον ἐνεργεῖ κατὰ τῶν τὸ μέρος ἡ ψυχὴ· εἰδυῖα ὡς εἰ τὸ βραχύτατον ῥαθυμήσειε, διαφθείρεται τὸ ζῶον· πάλιν οὖν ἐνταῦθα τὸ ψυχικὸν συνεπλάκη τῷ φυσικῷ· δι' ἀρτηρίας γὰρ ποιεῖται τὴν ἐνέργειαν τῆς ἀναπνοῆς ὀργάνου φυσικοῦ καὶ ἀεὶ κινουμένου· ἵνα μηδέποτε ἐπιλίπῃ τὸ ἔργον αὐτῆς. ὡς οὐδὲ τῶν ἄλλων ἀρτηριῶν. ὅθεν τινὲς οὐ συνιέντες, φυσικὴν ἐνόμισαν εἶναι τὴν ἀναπνοὴν. τρία δὲ τῆς ἀναπνοῆς ἐστὶν αἴτια, χρεία, δύναμις, ὄργανα· χρεία μὲν διττὴ· φυλακήτε τῆς ἐμφύτου θερμασίας, καὶ θρέψις τῶν ψυχικοῦ πνεύματος. ἀλλ' ἡ μὲν φυλακὴ τῆς κατὰ φύσιν θερμότητος διάτε τῆς εἰσπνοῆς καὶ τῆς ἐκπνοῆς συνίσταται· τῆς μὲν εἰσπνοῆς ψυχούσης καὶ μετρίως ἀναῤῥιπιζούσης τὸ θερμὸν· τῆς δὲ ἐκπνοῆς τὸ λιγνυῶδες τῆς καρδίας ἐκχεούσης· ἡ δὲ θρέψις τοῦ ψυχικοῦ πνεύματος διὰ μόνης τῆς ἀναπνοῆς. ἕλκεται γάρ τις ἀέρος μοίρα κατὰ τὰς διαστολὰς τῆς καρδίας εἰς αὐτὴν· δύναμις δὲ ἡ ψυχικὴ. αὕτη γάρ ἐστὶ ἡ κινοῦσα τὰ ὄργανα τῆς ἀναπνοῆς διὰ τῶν

μυῶν

μυῶν καὶ πρῶτον τὸν θώρακα, τούτῳ δὲ συγκινεῖται ὁ πνεύμων καὶ αἱ τραχεῖαι ἀρτηρίαι μέρος οὖσαι τοῦ πνεύμονος. τῆς γὰρ τραχείας ἀρτηρίας τὸ μὲν χονδρῶδες τῆς φωνῆς ἐστιν ὄργανον· οἱ δὲ ὑμενώδεις αὐτῆς δεσμοὶ τῆς ἀναπνοῆς· τὰ δὲ ἐξ ἀμφοτέρων τούτων αὕτη ἡ ἀρτηρία φωνητικόν τε ἅμα καὶ ἀναπνευστικὸν ὄργανον. ἔστιν οὖν ὁ πνεύμων πλέγμα συγκείμενον ἐκ τεσσάρων, ἔκτε τῆς τραχείας ἀρτηρίας, καὶ τῆς λείας, καὶ φλεβὸς, καὶ τῆς ἀφρώδους σαρκὸς αὐτοῦ τοῦ πνεύμονος· ἥτις σὰρξ ἀναπληροῖ δίκην στοιβῆς τὰς μεταξὺ χώρας τοῦ πλέγματος, τῶν τε δύο ἀρτηριῶν καὶ τῆς φλεβὸς· ὥς τε τούτων ἕδραν αὐτὴν καὶ δεσμὸν γενέσθαι· συμπέσσει δὲ ἡ σὰρξ τοῦ πνεύμονος φυσικῶς τὸ πνεῦμα, καθάπερ τὸ ἧπαρ τὸν ἐκ τῆς κοιλίας χυμὸν· καὶ διὰ τοῦτο, ὥσπερ τὸ ἧπαρ ἄκροις τοῖς λοβοῖς ἑαυτοῦ περιέχει τὴν γαστέρα θερμασίας δεομένην, οὕτω καὶ ὁ πνεύμων μέσην περιλαμβάνει τὴν καρδίαν δεομένην τῆς ἐκ τῆς ἀναπνοῆς περιψύξεως· συνάπτεται δὲ τῇ τραχείᾳ ἀρτηρίᾳ κατὰ τὸ συνεχὲς ὁ βρόγχος συγκείμενος ἐκ μεγάλων τριῶν χόνδρων· τούτῳ δὲ ὁ φάρυξ· εἶτα τὸ στόμα καὶ ἡ ῥὶς. δι' ἀμφοτέρων γὰρ ἕλκομεν ἔξωθεν τὸν ἀέρα· χωρεῖ δὲ ἐντεῦθεν διὰ τοῦ ἠθμοειδοῦς ἢ σπόγγοειδοῦς ὀστοῦ. ὅπερ κατεστήθη, ἵνα ἐν ταῖς ὑπερβολαῖς ταῖς κατὰ ποιότητα τοῦ ἀέρος μηδὲν ὁ ἐγκέφαλος βλάπτηται, ἀθρόου τοῦ πνεύματος ἐμπίπτοντος εἰς αὐτὸν. συνεχρήσατο δὲ καὶ ἐνταῦθα τῇ ῥινὶ πρός τε τὴν ἀνα-

πνοὴν

πνοὴν καὶ τὴν ὄσφρησιν ὁ δημιουργὸς. ὡς τῇ γλώττῃ πρός τε τὴν φωνὴν καὶ τὴν γεῦσιν καὶ τὴν διαμάσησιν. τὰ μὲν οὖν * κυριότατα μόρια πρός τε τὴν ὕπαρξιν αὐτὴν καὶ πρὸς τὰς ἀναγκαίας τοῦ βίου χρείας ταῖς ψυχικαῖς συνδιήρηται δυνάμεσιν. εἰ δέτι καὶ παραλέλειπται, ἐκ τῶν ἤδη λεχθέντων εὐσύνοπτον ἔσται. ὥσπερ δὲ πάντων τῶν γενομένων, τὰ μὲν δι' ἑαυτὰ γέγονε, τὰ δὲ δι' ἑαυτὰ καὶ δι' ἕτερα, τὰ δὲ, δι' ἕτερα μόνον, τὰ δὲ κατὰ συμβεβηκὸς παρυπέστη· οὕτω καὶ ἐπὶ τῶν μορίων τοῦ ζώου τὴν αὐτὴν εὑρήσεις ἀκολουθίαν. τὰ μὲν γὰρ εἰρημένα πάντα τῶν τριῶν ἀρχῶν ὄργανα τοῦ διοικουσῶν τὸ ζῶον δι' ἑαυτὰ γέγονε. ταῦτα γὰρ προηγουμένως καὶ κατὰ πρῶτον λόγον κατεσκεύασται ἃ καὶ κατὰ φύσιν κυρίως λέγεται, καὶ ἐν τῇ μήτρᾳ ἐξ αὐτοῦ τοῦ σπέρματος λαμβάνει τὴν γένεσιν· ὡς καὶ τὰ ὀστέα. ἡ δὲ ξανθὴ χολὴ καὶ δι' ἑαυτὴν καὶ δι' ἄλλο. καὶ γὰρ πρὸς πέψιν συντελεῖ καὶ κινεῖ τὴν ἔκκρισιν· καὶ γίνεται κατὰ ταῦτα τρόπον τινὰ τῶν θρεπτικῶν ἕν τι μόριον· οὐ μὴν ἀλλὰ καὶ θερμασίαν τινὰ παρέχει τῷ σώματι, καθάπερ ἡ ζωτικὴ δύναμις. τούτων μὲν οὖν ἕνεκα δι' ἑαυτὴν δοκεῖ γεγονέναι· τῷ δὲ καθαίρειν τὸ αἷμα διὰ τοῦτο πως δοκεῖ γεγονέναι· καὶ ὁ σπλὴν δὲ οὐ μικρὰ πρὸς πέψιν συμβάλλεται. ὀξώδης γὰρ ὢν καὶ στρυφνὸς τὴν φύσιν καὶ τὴν ἔκκρισιν τοῦ περιττεύοντος χυμοῦ τοῦ μέλανος εἰς τὴν γαστέρα προχέων, στύφει τε αὐτὴν καὶ τονοῖ καὶ πρὸς τὰς πέψεις διεγείρει. πρὸς τούτοις δὲ

καὶ

*καιριότερα

καὶ καθαίρει τὸ ἧπαρ· διὸ καὶ αὐτὸς δοκεῖ πως διὰ τὸ αἷμα γεγονέναι· καὶ οἱ νεφροὶ δὲ τότε αἱματος καθάρσιον εἰσὶ καὶ τῆς ὀρέξεως τῆς κατὰ τὴν σιτουσίαν· αἵτιοι. αἱ γὰρ φλέβες, ἃς λέγομεν ἐμπίπτειν εἰς τοὺς διδύμους, διὰ τῶν νεφρῶν διέρχονται· κακεῖθεν ἀρύονται δριμύτητα τινὰ τὴν ὄρεξιν, ὥσπερ καὶ τὸν κνησμὸν ἡ δριμύτης ὑπὸ τὸ δέρμα γενομένη ποιεῖ. ὅσῳ δὲ τῶν διδύμων ἡ σὰρξ ἀπαλωτέρα τοῦ δέρματός ἐστι, τοσούτῳ πλέον ὑπὸ τῆς δριμύτητος δακνόμενοι ἐμμανῆ ποιοῦσι τῆς ἐκπρίσεως τὴν ὀρμήν. ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα ξόπον τινὰ καὶ δι' ἑαυτὰ καὶ δι' ἄλλα γέγονεν· οἱ δὲ ἀδένες καὶ ἡ σὰρξ δι' ἄλλα μόνον. οἱ μὲν γὰρ ἀδένες ὄγκημα καὶ στήριγμα τῶν ἀγγείων εἰσὶν, ἵνα μὴ διαῤῥαγῇ μετέωρα * φερόμενα ἐν ταῖς βιαίοις κινήσεσιν. ἡ δὲ σὰρξ γέγονε σκέπασμα τῶν ἄλλων μορίων, ἵνα καὶ θέρους ἀναψύχῃ τὸ ζῶον νοτίαν ἔσωθεν ἐκπέμπουσα, καὶ χειμῶνος τὴν τῶν πλησίων ἐρίων αὐτοῖς παρέχῃ χρείαν. καὶ τὸ δέρμα δὲ σκέπασμα γέγονε καὶ τῆς ἀπαλῆς σαρκὸς καὶ τῶν ἄλλων ἁπάντων τῶν ἔνδοθεν· ἔστι δὲ τὴν φύσιν ἡ σὰρξ ὑπό τε τοῦ περιέχοντος τῶν θερμομιλέντων στομάτων τυλωθεῖσα· τὰ δὲ ὅσα στήριγμα τοῦ παντὸς σώματός ἐστι, καὶ μάλιστα ἡ ῥάχις ἥν καὶ ξόπην τοῦ ζώου φασὶν εἶναι. οἱ ὄνυχες δὲ, καὶ κοινῇ μὲν πᾶσι τοῖς ἔχουσι παρέχονται χρείαν τὴν τοῦ κνήθεσθαι καὶ ἰδίαν δὲ παρὰ ταύτην ἄλλην ἄλλῳ. πολλοῖς μὲν γὰρ τῶν ζώων

*Φαινόμενα

ἀμυντήριον ἐδόθησαν ὡς τοῖς καμψόνυξι· καὶ εἰσὶν ὥσπερ ὄργανον τοῦ θυμικοῦ, πολλοῖς δὲ ἀμυντήριόν τε ἅμα καὶ στήριγμα τῆς βάσεως ὡς τοῖς ἵπποις καὶ παντὶ μονόνυχι· καὶ ἀνθρώποις οὐ μόνον πρὸς τὸ κνήθεσθαι καὶ διαφορεῖν τὴν δριμύτητα τοῦ δέρματος, ἀλλὰ καὶ πρὸς τὴν τῶν λεπτῶν ἀντίληψιν. τὰ γὰρ πάνυ λεπτὰ δι' αὐτῶν ἐπαίρομεν· καὶ τοῖς ἄκροις δὲ τῶν δακτύλων ὄπισθεν ἀντιβαίνοντες, σπρίζουσι τὴν λαβὴν αὐτῶν· αἱ δὲ ξίχες καὶ συμβεβηκὸς παρυπόστησαν. τῶν γὰρ ἀτμῶν τῶν καπνωδεστάτων τῶν ἀναπεμπομένων ἐκ τοῦ σώματος πῆξιν τινὰ λαμβανόντων, καὶ συμβεβηκὸς σωίσασθαι. οὐ δὲ ταύτας δὲ παντάπασιν ἀχρήστους ἐποίησεν ὁ δημιουργὸς· ἀλλὰ καί τοι καὶ συμβεβηκὸς γιγνομένας εἰς σκέπασιν τε καὶ κάλλος συντελεῖν τοῖς ζώοις παρεσκεύασε· σκέπει μὲν αἰεὶ καὶ φυβάτοις, κόσμον δὲ τοῖς ἀνθρώποις· ἔστι δὲ ζώοις κόσμον τε ἅμα καὶ σκέπασιν ὡς τῷ λέοντι.

ΠΕΡΙ ΕΚΟΥΣΙΟΥ ΚΑΙ ΑΚΟΥΣΙΟΥ. ΚΕΦ. ΚΘ'.

Ἐπειδὴ πολλάκις ἐμνημονεύσαμεν ἑκουσίου καὶ ἀκουσίου, ἀνάγκη καὶ περὶ τούτων διαλαβεῖν, ἵνα τῆς ἀκριβοῦς αὐτῶν γνώσεως μὴ διαφαλλώμεθα. δεῖ δὲ τὸν μέλλοντα περὶ ἀκουσίου καὶ ἑκουσίου λέγειν, πρότερον ἐπιθέσθαι κανόνας τινὰς καὶ γνώμονας, δι' ὧν γνώριμον ἔσται εἴτε ἑκούσιον εἴτε ἀκούσιον ἐστὶ τὸ γνώμενον· ἕως τοίνυν ἂν ἑκούσιον ἐν πράξει τινὶ

τινὶ ἐστὶ, ἢ τὸ νομιζόμενον δὲ ἀκούσιον καὶ αὐτὸ ἐν πράξει ἐστὶ, δειχθήσε) δὲ τοῦτο μετ' ὀλίγον. τίνες δὲ εἰσὶν οἱ τὸ ὄντως ἀκούσιον, οὐ μόνον ἐν τῷ πάσχειν, ἀλλὰ καὶ ἐν τῷ πράττειν τίθενται. ὁριστέον πρὸ τῶν ἄλλων τί ἐστι πρᾶξις· πρᾶξις ἐστὶν ἐνέργεια λογικὴ. ταῖς δὲ πράξεσιν ἔπαινος ἢ ψόγος ἕπεται· ἢ αἱ μὲν αὐτῶν μεθ' ἡδονῆς, αἱ δὲ μὴ λύπης πράττονται· καὶ αἱ μὲν εἰσὶν αἱρεταὶ τῷ πράττοντι, αἱ δὲ φευκταὶ καὶ τῶν αἱρετῶν αἱ μὲν ἀεὶ αἱρεταὶ, αἱ δὲ κατά τινα χρόνον. ὁμοίως δὲ καὶ τῶν φευκτῶν· καὶ πάλιν αἱ μὲν τῶν πράξεων ἐλεεῖνται ἢ συγγνώμης ἀξιοῦνται· αἱ δὲ μισοῦνται καὶ κολάζονται. ἔστωσαν οὖν γνώμονες τοῦ μὲν ἑκουσίου τὸ πάντως ἐπακολουθεῖν ἔπαινον ἢ ψόγον, ἢ τὸ μεθ' ἡδονῆς πράττεσθαι, ἢ τὸ αἱρετὰς εἶναι τὰς πράξεις τοῖς πράττουσιν, ἢ ἀεὶ ἢ τότε ὅταν πράττωνται. τοῦ δὲ ἀκουσίου γνώμονες τὸ συγγνώμης ἀξιοῦσθαι ἢ ἐλέους καὶ τὸ μετὰ λύπης πράττεσθαι καὶ τὸ μὴ εἶναι αἱρετάς. τούτων οὕτω διορισθέντων λεκτέον περὶ ἀκουσίου.

ΠΕΡΙ ΑΚΟΥΣΙΟΥ. ΚΕΦ. Λ'.

Τοῦ ἀκουσίου τὸ μὲν κατὰ βίαν, τὸ δὲ κατ' ἄγνοιάν ἐστι· τοῦ τοίνυν κατὰ βίαν ἀκουσίων ἡ ποιητικὴ ἀρχὴ ἔξωθεν ἐστί. ἄλλο γάρ τι τῆς βίας ἄτοπον ἐστὶ ἢ οὐχ ἡμεῖς. ὅρος τοίνυν τοῦ κατὰ βίαν ἀκουσίου ἐστὶν, οὗ ἡ ἀρχὴ ἔξωθεν μηδὲν συμβαλλομένου κατ' οἰκείαν ὁρμὴν τοῦ βιαζομένου· ἀρχὴ δὲ εἴρηται ἐνταῦθα ἡ ποιητικὴ αἰτία· ζητεῖται δὲ εἰ ἢ ταῦτα ἀκούσια ἐστὶν, οἷον αἱ ἀποβολαὶ τῶν φορτίων ἃς ποιοῦνται

οἱ ναῦται χειμῶνι περιπεσόντες· ἢ ὅταν τις ἀλγεινὸν φάρμακα καταδέξηται παθεῖν ἢ πρᾶξαι ὑπὲρ τοῦ σῶσαι φίλους ἢ πατρίδα· ἐοίκασι δὲ μᾶλλον εἶναι ἑκούσιοι. διὰ τοῦτο γὰρ προσκείσθαι τῷ ὅρῳ τὸ μηδὲν συμβαλλομένου κατ' οἰκείαν ὁρμὴν τοῦ βιαζομένου. ἐπὶ γὰρ τοῖς τοιούτοις ἑκόντες αὐτοὶ δι' ἑαυτοὺς κινοῦσι τὰ ὀργανικὰ μόρια· ἢ οὕτω ῥίπτουσιν εἰς τὴν θάλασσαν τὸ φορτίον. ὁμοίως καὶ οἱ ἀλγεινόν τι ἢ δεινὸν ὑπομένοντες διὰ μεῖζον καλόν. ὡς ἡ Ἀναξάρχου ὁ φιλόσοφος ὑπομείνας πίστασθαι ὑπὸ Νικοκρέοντος τοῦ τυράννου ὑπὲρ τοῦ μὴ προδοθῆναι τοὺς φίλους· καθόλου οὖν ὅταν ἢ διὰ φόβων μειζόνων κακῶν ἕλκηταί τις τὸ ἔλαττον κακὸν· ἢ δι' ἐλπίδα μείζονος καλοῦ καταδέξηταί τις τὸ ἔλαττον καλὸν, ὃ ἐκ ἑκὼν ἄλλως κατορθῶσαι, οὐκ ἀκούσιον ὑπομένει πρᾶξιν ἢ πάθος. ποιεῖ γὰρ καὶ προαίρεσιν ἢ κατ' ἐκλογήν· ἢ τότε εἰσὶν αἱρεταὶ ὅταν πράττωνται, καθ' ἑαυτὰς οὐκ οὖσαι αἱρεταί. εἰσὶν οὖν μικταὶ ἐξ ἑκουσίου καὶ ἀκουσίου· ἀκουσίου μὲν καθ' ἑαυτὰς, ἑκουσίου δὲ τότε διὰ περίστασιν. ἄνευ γὰρ περιστάσεως οὐδεὶς ἂν ἕλοιτο ταῦτα πρᾶξαι. δηλοῖ δὲ καὶ ὁ ἐπὶ τοῖς τοιαύταις πράξεσι γινόμενος ἔπαινος ἢ ψόγος, ὅτι ἑκούσιαι εἰσὶν. ἀκουσίων γὰρ ἔργων οὐδεὶς ἔπαινος ἢ ψόγος ἔσται. οὐκ ἔστι δὲ ῥάδιον διακρίναι ποῖον αὐτὶ ποίου αἱρετόν. δεῖ δὲ ὡς ἐπὶ τὸ πολὺ πρὸ τῶν ἀλγρῶν αἱρεῖσθαι τὰ λυπηρὰ ὡς Σωσάννα καὶ Ἰωσὴφ ἐποίησαν. οὐκ ἀεὶ μέντοι Ὠριγένης γοῦν διὰ

τὸ

τὸ μὴ περιπεσεῖν τῇ αἰσχύνῃ τῇ τῶν Αἰθιόπων ἐπιθύσας τοῦ παντὸς ἐξέπεσεν· οὕτως οὐκ ἔστιν εὔκολος ἡ τῶν τοιούτων διάγνωσις. ἔτι δὲ καὶ τούτοις χαλεπώτερόν ἐστι τὸ ἐμμεῖναι τοῖς δόξασιν. οὐ γὰρ ὁμοίως ἐκπλήσσει τὰ δεινὰ προσδοκώμενα καὶ ἐπαγόμενα· ἀλλ' ἐνίοτε κρίναντες ἐξιστάμεθα τῆς κρίσεως ἐν τοῖς δεινοῖς γενόμενοι. ὡς ἐπὶ τινῶν συμβέβηκεν ἐν τῷ μαρτυρεῖν. τὴν ἀρχὴν γὰρ καρτερήσαντες περὶ τὸ τέλος ἐνέδωκαν ἐν τῇ πείρᾳ τῶν χαλεπῶν ἀπομαλακισθέντες· μηδεὶς δὲ νομίσῃ τῆς ἀκολασίας τὴν ἐπιθυμίαν ἢ τὸν θυμὸν τῶν ἀκουσίων εἶναι πλημμελημάτων, ἐπειδὴ καὶ ταῦτα τὴν ἀρχὴν ἔξωθεν ἔχει τὴν ποιητικὴν. τό τε γὰρ κάλλος τῆς πόρνης ἐξοίστρησεν ἐπὶ τὴν ἀκολασίαν τὸν ἑωρακότα· καὶ ὁ παροξύνας ἐκίνησε τὸν θυμὸν. εἰ γὰρ καὶ τὴν ἀρχὴν ἔξωθεν ἔχουσιν, ἀλλ' αὐτοὶ δι' ἑαυτῶν καὶ τῶν ὀργανικῶν μορίων ἐνεργοῦσι· καὶ οὐχ ὑποπίπτουσι τῷ ὅρῳ τοῦ ἀκουσίου· ὁπότε καὶ τῆς ἀρχῆς τὴν αἰτίαν ἑαυτοῖς παρέχονται διὰ φαύλην ἀγωγὴν ὑπὸ τῶν παθῶν ῥαδίως αἰχμαλωτιζόμενοι. ψέγονται γοῦν οἱ ταῦτα πράττοντες ὡς ἑκούσιον κακὸν ὑπομένοντες, ὅτι δὲ ἑκούσιόν ἐστι δῆλον· ἥδονται γὰρ ἐπὶ τῇ πράξει· τὸ δὲ ἀκούσιον λυπηρὸν ἐδείχθη, περὶ μὲν οὖν τοῦ βίᾳ ἀκουσίου, ταῦτα περὶ δὲ τοῦ δι' ἄγνοιαν εἰπεῖν ὑπολέλειπται.

ΠΕΡΙ ΤΟΥ ΔΙ' ΑΓΝΟΙΑΝ ΑΚΟΥΣΙΟΥ. ΚΕΦ. ΛΑ'.

Πολλὰ

ΠΟΛΛΑ πράττομεν δι' ἄγνοιαν ἐφ' οἷς μετὰ πρᾶξιν χαίρομεν, ὡς ὅταν τὴς ἄκων μὲν ἐχθρὸν φονεύσῃ. χαίρει δὲ ἐπὶ τῷ φόνῳ. ταῦτ' οὖν καὶ τὰ τοιαῦτα καλοῦσιν οὐχ ἑκούσια, οὐ μέντοι καὶ ἀκούσια· καὶ πάλιν πράττομεν τινὰ δι' ἄγνοιαν, καὶ ἐπὶ τοῖς γινομένοις λυπούμεθα· ταῦτα ἐκάλεσαν ἀκούσια ὅσοις πραχθεῖσιν ἐπακολουθεῖ λύπη. τῶν οὖν δι' ἄγνοιαν δύο ἐστὶν εἴδη· ἓν μὲν τὸ οὐχ ἑκούσιον ἕτερον δὲ τὸ ἀκούσιον. πρόκειται δὲ νῦν εἰπεῖν περὶ τῶν ἀκουσίου μόνου. τὸ γὰρ οὐχ ἑκούσιον τοῖς ἑκουσίοις μᾶλλον ὑπάγεται μικτὸν ὑπάρχον. τὴν μὲν γὰρ ἀρχὴν ἀκούσιον ἔχει· τὸ δὲ τέλος ἑκούσιον· ἐξ ἀποβάσεως γὰρ ἑκούσιον γέγονε τὸ ἀκούσιον. διὸ καὶ οὕτως ὁρίζονται τὸ ἀκούσιον. ἀκούσιόν ἐστι τὸ πρὸς τῷ μὴ ἑκούσιον εἶναι, ἐπίλυπον ἐστὶ καὶ ἐν μεταμελείᾳ. πάλιν ἄλλο μέν ἐστι δι' ἄγνοιάν τι ποιεῖν, ἄλλο δὲ ἀγνοοῦντα. ἐὰν γὰρ ἐφ' ἡμῖν ᾖ τῆς ἀγνοίας τὸ αἴτιον, ἀγνοοῦντες μὲν ποιοῦμεν, οὐ δι' ἄγνοιαν δέ· ὁ γὰρ μεθύων καὶ θυμούμενος καὶ ποιῶν τι φαῦλον, ὁ μὲν τὴν μέθην, ὁ δὲ τὴν ὀργὴν αἰτίαν ἔχει τῶν ὑπ' αὐτοῦ γινομένων. ἅπερ ἑκούσια ἦν. ἐξῆν γὰρ αὐτῷ μὴ μεθυσθῆναι. αὐτὸς οὖν ἑαυτῷ τῆς ἀγνοίας γέγονεν αἴτιος. ταῦτα οὖν οὐ δι' ἄγνοιαν λέγεται ποιεῖν, ἀλλ' ἀγνοοῦντα πράττειν. ἅπερ οὐκ ἔστιν ἀκούσια, ἀλλ' ἑκούσια. διὸ καὶ ψέγονται παρὰ τῶν χρηστῶν οἱ ταῦτα πράττοντες· εἰ γὰρ μὴ ἐμεθύσθη, οὐκ ἂν ἐποίησεν· ἑκὼν δὲ ἐμεθύσθη, ἑκὼν ἄρα ταῦτα ἐποίησε· δι'

ἄγνοιαν

ἄγνοιαν δὲ ταῦτα πράττομεν, ὅταν μὴ αὐτοὶ παρέχωμεν τὴν αἰτίαν τῆς ἀγνοίας, ἀλλ' οὕτως συνέβη· οἷον ἐν τῷ τόπῳ τὶς τῷ συνήθει τοξεύων τὸν πατέρα * παριόντα κατὰ τύχην βαλὼν ἀπέκτεινεν. ἐκ τῶν εἰρημένων οὖν ἀποδείκνυται ὅτι οὐχ ὁ ἀγνοῶν τὰ συμφέροντα, οὐδ' ὁ νομίζων εἶναι τὰ φαῦλα χρηστὰ, πάθος ἀκούσιον ὑπομένει. τῆς γὰρ αὐτοῦ μοχθηρίας ἐστὶν ἡ ἄγνοια· ψέγεται γοῦν καὶ οὗτος. τῶν δὲ ἑκουσίων ὁ ψόγος· οὐκ ἄρα τῶν καθόλου καὶ γενικῶν ἢ τῶν κατὰ προαίρεσιν ἀκούσιός ἐστιν ἡ ἄγνοια· ἀλλὰ τῶν ἐν μέρει. τὰ μὲν γὰρ καθ' ἕκαστα ἄκοντες, τὰ δὲ καθόλου ἑκόντες ἀγνοοῦμεν. τούτων οὕτω διωρισμένων ἑξῆς ῥητέον, ποία ἐστὶ τὰ καθ' ἕκαστα. ταῦτα δὲ ἐστὶ ἃ καλεῖται παρὰ τοῖς ῥήτορσι περιστατικὰ μόρια· τίς, τίνα, τί, τίνι, ποῦ, πότε, πῶς, διατί, οἷον πρόσωπον, πρᾶγμα ὄργανον, τόπος, χρόνος, τρόπος, αἰτία· πρόσωπον μὲν τὸ ποιοῦν ἢ περὶ τίνα ἡ πρᾶξις, οἷον εἰ πατέρα υἱὸς ἐτύπτησεν ἀγνοῶν· πρᾶγμα δὲ, αὐτὸ τὸ πραχθὲν, εἰ ῥαπίσαι θέλων ἐτύφλωσεν· ὄργανον δὲ, εἰ λίθον ἠκόντισεν νομίσας εἶναι κίσσηριν· τόπος δὲ εἰ ἐν τῷ περικλᾶν στενωπὸν, ἔκρουσεν ἀγνοῶν τὸν ἀπαντήσαντα· χρόνος δὲ, εἰ ἐν νυκτὶ νομίσας πολέμιον τὸν φίλον ἐφόνευσεν· τρόπος δὲ, εἰ πλήξας ἠρέμα καὶ μὴ ῥαγδαίως ἐφόνευσεν. ἐγνόησε γὰρ εἰ πληγεὶς ἠρέμα τελευτήσει· αἰτία δὲ, εἰ ὁ μὲν ἔδωκε φάρμακον ὡς ὑγιάζον. ἀπέθανε δὲ ὁ λαβὼν τὸ φάρμακον εὑρεθὲν δηλητήριον. ἀλλὰ ταῦτα μὲν ἅμα πάντα

*περιϊόντα

πάντα οὐδ' ἂν μαινόμενός τις ἀγνοήσειεν· ὁ δὲ τὰ πλεῖστα τούτων ἢ κυριώτερα ἀγνοήσας, οὗτος δι' ἄγνοιαν πεποίηκε· κυριώτερα δέ ἐστιν ἐν τούτοις τὸ οὗ ἕνεκα καὶ τί τὸ πραττόμενον· τουτέστιν ἡ αἰτία καὶ τὸ πρᾶγμα.

ΠΕΡΙ ΤΟΥ ΕΚΟΥΣΙΟΥ. ΚΕΦ. ΛΒ'.

ΤΟΥ ἀκουσίου ὄντος διττοῦ, τοῦτε δι' ἄγνοιαν καὶ τοῦ κατὰ βίαν, τὸ ἑκούσιον ἀμφοτέροις ἀντίκειται. ἔστι γὰρ τὸ μὴ μετὰ βίας, μήτε δι' ἄγνοιαν γινόμενον· καὶ ἔστι οὐ βίᾳ μὲν, οὗ ἡ ἀρχὴ ἐν αὐτοῖς· οὐ δι' ἄγνοιαν δὲ εἰ μὴ τῶν καθ' ἕκαστα τί εἴη ἀγνοούμενον, δι' ὧν καὶ ἐν οἷς ἡ πρᾶξις. συνθέντες οὖν ἑκάτερον ὁριζόμεθα τὸ ἑκούσιον, οὗ ἡ ἀρχὴ ἐν αὐτῷ, εἰδότι τὰ καθ' ἕκαστα, ἐν οἷς ἡ πρᾶξις. ζητεῖται δὲ εἰ τὰ φύσει γινόμενα ἑκούσια ἐστίν· οἷον ἡ πέψις καὶ ἡ αὔξησις. δείκνυται δὲ ταῦτα μήτε ἑκούσια μήτε ἀκούσια· τὸ γὰρ ἑκούσιον καὶ ἀκούσιον ἐν τοῖς ἐφ' ἡμῖν ἐστιν· ἡ δὲ πέψις καὶ ἡ αὔξησις οὐκ ἐφ' ἡμῖν. ὅθεν εἰ καὶ τὰ καθ' ἕκαστα ἀγνοοῦμεν τῷ μὴ ἐφ' ἡμῖν αὐτὰ εἶναι, οὔτε ἑκούσια ἐστὶν, οὔτε ἀκούσια. τὰ δὲ διὰ θυμὸν καὶ ἐπιθυμίαν ἐδείχθη ἑκούσια· καὶ γὰρ κατορθούμενα ἐπαινεῖται, καὶ ἁμαρτανόμενα ψέγεται ἢ μισεῖται. καὶ ἡδονὴ καὶ λύπη αὐτοῖς ἐπακολουθεῖ, καὶ ἡ ἀρχὴ ἐν αὐτοῖς ἐστιν. ἐν αὐτοῖς γὰρ ἦν τὸ μὴ ὑπὸ τῶν παθῶν ῥαδίως ἁλίσκεσθαι· διὰ γὰρ τῶν ἐθῶν τὰ τοιαῦτα κατορθοῦται. ἄλλως τε, εἰ ταῦτα

τα ἀκούσια. οὐδὲν τῶν ἀλόγων ζώων ἑκουσίως τὶ πράττει, ἀλλ' οὐδὲ τὰ παιδία. νῦν δὲ οὐχ' οὕτως ἔχει· ὁρῶμεν γὰρ ἀκουσίως αὐτὰ ἐπὶ τὴν ξοφὴν ἐρχόμενα καὶ ἅτε βία· αὐτὰ γάρ ἐστι τὰ δι' ἑαυτῶν ὁρμῶντα, οὔτε δὴ ἀγνοοῦντα. τὴν γὰρ ξοφὴν οὐκ ἀγνοεῖ. θεωρήσαντα γοῦν ξοφὴν ἥδεται καὶ ὡς ἐπὶ πρᾶγμα γνώριμον ὁρμᾷ, καὶ ἀποτυγχάνοντα λυπεῖται. ἑκουσίου δὲ γνώμονες ὅπι τυγχάνοντος μὲν ἡδονὴ, ἀποτυγχάνοντος δὲ λύπη· ἐξ ὧν δῆλον ὡς ἑκούσιον ἔχει τὴν ὀπιθυμίαν καὶ τὸν θυμόν· καὶ γὰρ ὁ θυμὸς μεθ' ἡδονῆς γίνεσθαι· καὶ ἄλλως, ἐάν τις τὰ διὰ θυμὸν καὶ ὀπιθυμίαν ἑκούσια μὴ λέγοι, ἀναιρεῖ τὰς ἠθικὰς ἀρετάς. ἐν μεσότητι γὰρ εἶνται τῶν παθῶν εἰσὶν· εἰδὲ ἀκούσια τὰ πάθη, ἀκούσιοι καὶ αἱ πράξεις αἱ κατὰ τὰς ἀρετάς. καὶ γὰρ εἶνται κατὰ πάθος γίνονται. οὐδεὶς δὲ τὸ κατὰ λογισμὸν καὶ προαίρεσιν ἢ δι' οἰκείαν ὁρμὴν καὶ ἔφεσιν μετὰ τοῦ γνωρίζειν τὰ καθ' ἕκαστα ἀκούσιον λέγει. ἐδείχθη δὲ καὶ ἡ ἀρχὴ ἐν αὐτοῖς. * ἑκούσια ἄρα· ἐπεὶ δὲ πολλαχοῦ τῆς προαιρέσεως ἐμνημονεύσαμεν καὶ τοῦ ἐφ' ἡμῖν, διαληπτέον καὶ περὶ προαιρέσεως.

* ἑκάσιος

ΠΕΡΙ ΠΡΟΑΙΡΕΣΕΩΣ ΚΕΦ. ΛΓ'.

ΤΙ ἄρα ἐστὶν ἡ προαίρεσις, ἄρα τὸ ἑκούσιον, ἐπειδὴ πᾶν τὸ κατὰ προαίρεσιν καὶ ἑκούσιον ἐστὶν, ἀλλ' οὐκ ἀντιστρέφει, ὅπερ ἐγένετο ἄν, εἰ ταυτὸν ἦν ἑκούσιον καὶ προαίρεσις· νῦν δὲ ἐπὶ πλέον εὑρίσκο-

μεν τὸ ἑκούσιον. πᾶσα μὲν γὰρ προαίρεσις ἀκούσιος· οὐ πᾶν δὲ τὸ ἑκούσιον ἐν προαιρέσει· καὶ γὰρ τὰ παιδία καὶ τὰ ἄλογα ἑκουσίως μὲν ποιεῖ οὐ μὴν καὶ προαιρούμενα· καὶ ὅσα μὲν διὰ θυμὸν πράττομεν μὴ βουλευσάμενοι ταῦτα, ἑκουσίως μὲν ποιοῦμεν, οὐ μὴν κατὰ προαίρεσιν, ἀλλὰ καὶ ὁ φίλος ἡμῖν Ἀλκίφρων ἔφησι· ἑκουσίως μὲν ὡς ἥδεται· οὐ μὴν δὲ προηρημένως. καὶ ὁ θησαυρὸν ἀπροσδοκήτως εὑρὼν, ἑκουσίως μὲν ἁρπάζω περιέτυχεν οὐ προαιρουμένως δὲ. ἐπὶ πάντων οὖν συμβαίνει τὸ μὴ ταυτὸν εἶναι τὸ ἑκούσιον τῇ προαιρέσει. ἆρ οὖν ὄρεξίς ἐστιν ἡ προαίρεσις; ἀλλ' οὐδὲ τοῦτο· διαιρεῖται γὰρ ἡ ὄρεξις εἰς βία, εἰς ὀπιθυμίαν καὶ θυμὸν καὶ βούλησιν. ἀλλ' ὅπι μὲν οὔτε θυμὸς οὔτε ὀπιθυμία ἐστὶν ἡ προαίρεσις, φανερὸν ἐπὶ τῷ μὴ εἶναι κοινωνίαν τοῖς ἀνθρώποις πρὸς τὰ ἄλογα κατὰ προαίρεσιν, ἀλλὰ κατ' ὀπιθυμίαν καὶ θυμόν. εἰ γὰρ κατὰ ταῦτα μὲν κοινωνοῦμεν, τῇ δὲ προαίρεσιν διαφέρομεν, δῆλον ὡς ἄλλο μέντι προαίρεσις, ἄλλο δὲ θυμὸς καὶ ὀπιθυμία· δείκνυσι δὲ καὶ ὁ ἀκρατὴς κρατούμενος μὲν ὑπὸ τῆς ὀπιθυμίας, καὶ πράττων ταύτῃ μὴ μέντοι καὶ κατὰ προαίρεσιν. ἀντιβαίνει γὰρ ἐπ' αὐτῷ ἡ προαίρεσις τῇ ὀπιθυμίᾳ· εἰ δὲ ταυτὸν ἦσαν, οὐκ ἐμάχοντο· καὶ ὁ ἐγκρατὴς δὲ πράττων κατὰ προαίρεσιν οὐ πράττει κατ' ὀπιθυμίαν. ὅπι δὲ οὔτε βλητικός ἐστιν ἡ προαίρεσις, δῆλον ἐντεῦθεν. οὐ πᾶσιν

ὅις ἁρμόζει τὸ προαιρεῖσθαι τέτοις ἁρμόζει καὶ τὸ βέλεσθαι. φαμὲν γὰρ βέλεσθαι ὑγιαίνειν, προαιρεῖσθαι δὲ ὑγιαίνειν οὐδεὶς ἂν εἴποι· καὶ βούλεσθαι πλουτεῖν, οὐκ ἔτι δὲ καὶ προαιρεῖσθαι πλουτεῖν, λέγεται· καὶ τὸ μὲν βούλεσθαι καὶ ἐπὶ τῶν ἀδυνάτων τάττεται· τὸ δὲ προαιρεῖσθαι ἐπὶ μόνων τῶν ἐφ' ἡμῖν. οὕτω γοῦν φαμὲν, βούλομαι ἀθάνατος γενέσθαι, προαιροῦμαι δὲ ἀθάνατος γενέσθαι, οὐ φαμέν. ἡ μὲν γὰρ βέλησις τοῦ τέλους ἐστὶν· ἡ δὲ προαίρεσις τῶν πρὸς τὸ τέλος, κατὰ τὴν αὐτὴν ἀναλογίαν ἣν ἔχει τὸ βουλητὸν πρὸς τὸ βουλευτόν. βουλητὸν μὲν γὰρ τὸ τέλος· βουλευτὰ δὲ τὰ πρὸς τὸ τέλος. ἔτι ταῦτα μόνα προαιρούμεθα, ἃ δι' ἡμᾶς διόμεθα δύνασθαι γενέσθαι· βουλόμεθα δὲ καὶ τὰ μὴ δι' ἡμῶν διάτε γενέσθαι· ὡς τὸ νικῆσαι τινὰ στρατηγὸν. ὅτι μὲν οὖν οὔτε θυμὸς, οὔτε ἐπιθυμία οὔτε βούλησίς ἐστιν ἡ προαίρεσις, ἀυταρκῶς ἀποδέδεικται. ὅτι δὲ οὐ δόξα, δῆλον γίνεται καὶ διὰ τῶν αὐτῶν ἀποδείξεων, καὶ δι' ἑτέρων· ἡ γὰρ δόξα οὐ μόνον τῶν ἐφ' ἡμῖν ἐστὶν, ἀλλὰ καὶ τῶν ἀϊδίων. ἔτι δὲ δόξαν μὲν ἀληθῆ λέγομεν καὶ ψευδῆ· προαίρεσιν δὲ οὐ λέγομεν ἀληθῆ καὶ ψευδῆ· καὶ ἡ μὲν δόξα τῶν καθόλου· ἡ δὲ προαίρεσις τῶν καθ' ἕκαστα· περὶ γὰρ τῶν πρακτέων ἡ προαίρεσις· ταῦτα δὲ τὰ καθ' ἕκαστα. ἀλλ' οὐ δὲ βούλευσίς ἐστιν ἡ προαίρεσις, ὅιον βουλή· βούλευσις μὲν γάρ ἐστι ζήτησις περὶ τῶν αὐτῶν πρακτέων· προαιρετὸν δὲ

δὲ τὸ ἐκ τῆς βουλεύσεως προκριθέν. δῆλον οὖν ὅτι ἡ μὲν βούλευσις ἐπὶ τοῖς ἐπιζητουμένοις· ἡ δὲ προαίρεσις ἐπὶ τοῖς ἤδη προκεκριμένοις. τί μὲν ἂν οὖν ἔστι ἡ προαίρεσις, εἴρηται· τί δὲ ἐστὶν, εἰπωμεν. ἔσαν οὖν μικτόν τι ἐκ βουλῆς, καὶ κρίσεως, καὶ ὀρέξεως· καὶ οὔτε ὄρεξις καθ' ἑαυτὴν οὔτε βουλὴ μόνη, ἀλλ' ἐκ τούτων τὸ συγκείμενον. ὡς γὰρ λέγομεν τὸ ζῶον ἐκ ψυχῆς καὶ σώματος συγκεῖσθαι· μήτε δὲ σῶμα εἶναι καθ' ἑαυτὸ τὸ ζῶον, μήτε ψυχὴν μόνην, ἀλλὰ τὸ συναμφότερον, οὕτω καὶ τὴν προαίρεσιν. ὅτι μὲν οὖν βουλή τις ἐστὶ καὶ βούλευσις μετ' ὄπτήρίσεως, εἰ καὶ μὴ αὐτὸ βουλὴ, φανερὸν καὶ ἐκ τῆς ἐτυμολογίας. προαιρετὸν γάρ ὄζι τὸ ἕτερον πρὸ ἑτέρου αἱρετόν. οὐδεὶς δὲ προκρίνει τί μὴ βουλευσάμενος· οὐ δὲ αἱρεῖται μὴ κρίνας· ἐπειδὴ δὲ οὐ πάντα τὰ δόξαντα ἡμῖν ἓν ἔχειν εἰς ἔργον ἀγαγεῖν προθυμούμεθα, τότε προαίρεσις καὶ προαιρετὸν γίνεται τὸ προκριθὲν ἐκ τῆς βουλῆς, ὅταν προσλάβῃ τὴν ὄρεξιν. ἀναγκαίως οὖν ἡ προαίρεσις περὶ ταυτά ὄζι, περὶ ἃ καὶ ἡ βουλὴ· σωάγεται δὴ ἐκ τούτων προαίρεσιν εἶναι ὄρεξιν βουλευτικὴν τῶν ἐφ' ἡμῖν, ἢ βούλευσιν ὀρεκτικὴν τῶν ἐφ' ἡμῖν. τοῦ γὰρ προκριθέντος ἐκ τῆς βουλῆς ἐφιέμεθα προαιρούμενοι. ἐπειδὴ δὲ τὴν προαίρεσιν ἔφαμεν περὶ ταυτὰ εἶναι, περὶ ἃ καὶ ἡ βουλὴ, διαταφήσωμεν περὶ τίνα καταγίνεται ἡ βουλὴ, καὶ περὶ τινῶν βουλευόμεθα.

ΠΕΡΙ ΤΙΝΩΝ ΒΟΥΛΕΥΟΜΕΘΑ.

ΚΕΦ. ΛΔ'.

ΠΡΙΝ εἰπεῖν περὶ τίνων βουλευόμεθα, βέλτιον διορίσαι, τίνι διαφέρει βουλὴ ζητήσεως. οὐ γὰρ ταυτόν ἐστι βουλὴ καὶ ζήτησις. εἰ καὶ ὁ βουλευόμενος ζητῶν τί βουλεύεται· ἀλλὰ πολὺ διαφέρει. ζητοῦμεν γὰρ εἰ μείζων ἐστὶ τῆς γῆς ὁ ἥλιος· ἔστι γὰρ ἡ ζήτησις γένος τῆς βουλῆς· καὶ γὰρ ἐπὶ πλέον λέγεται. πᾶσα μὲν γὰρ βουλὴ ζήτησις τίς ἐστιν· οὐ πᾶσα δὲ ζήτησις βουλὴ. δέδεικται δὲ τοῦτο. τὸ δὲ σκέπτεσθαι ποτὲ μὲν ἐπὶ τοῦ βουλεύεσθαι λέγομεν, ὡς σκέπτομαι, εἰ δεῖ πλεῦσαι· ποτὲ δὲ ἐπὶ τοῦ κατανοεῖν, ὡς σκέπτομαι τὰ μαθήματα, οὐ βουλεύομαι τὰ μαθήματα. ταρασσόμεθα δὲ πολλάκις ἀδιακρίτως ἀκούοντες τῶν ὀνομάτων, νομίζοντες ταυτὸν τὸ μὴ ταυτόν. τῆς οὖν διαφορᾶς τούτων φανερᾶς γενομένης ῥητέον λοιπὸν περὶ τίνων βουλευόμεθα. βουλευόμεθα οὖν περὶ τῶν ἐφ' ἡμῖν καὶ δι' ἡμῶν δυναμένων γενέσθαι, καὶ ἄδηλον ἐχόντων τὸ τέλος· τουτέστι δυναμένων καὶ οὕτως καὶ ἄλλως γενέσθαι. τὸ μὲν οὖν ἐφ' ἡμῖν εἴρηται, ἐπειδὴ περὶ τῶν πρακτέων μόνων βουλευόμεθα. ταῦτα γὰρ ἐφ' ἡμῖν· οὐ γὰρ περὶ τῆς θεωρητικῆς καλουμένης φιλοσοφίας βουλευόμεθα. οὔτε γὰρ περὶ Θεοῦ οὔτε περὶ τῶν ἐξ ἀνάγκης γινομένων· ἐξ ἀνάγκης δὲ λέγω τὰ ἀεὶ ὡσαύτως γινόμενα, οἷον τοῦ κύκλου

τοῦ ἐνιαυτοῦ, οὔτε περὶ τῶν οὐκ ἀεὶ μὲν ὄντων· ἀεὶ δὲ ὁμοίως γινομένων, οἷον δύσεως καὶ ἀνατολῆς ἡλίου, οὔτε περὶ τῶν φύσει μὲν, οὐκ ἀεὶ δὲ ὁμοίως γινομένων, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον. οἷον περὶ τοῦ πολιοῦσθαι τὸν ἑξηκοντούτην ἢ γενειάσκειν τὸν εἰκοσαετῆ· ἀλλ' οὐδὲ περὶ τῶν φύσει μὲν, ἄλλοτε δὲ ἄλλως ἀορίστως γινομένων, οἷον περὶ ὄμβρων, περὶ αὐχμῶν, ἢ χαλάζης. ἀλλ' οὐδὲ περὶ τῶν ἀπὸ τύχης γίνεσθαι λεγομένων, ἅπερ ἐστὶ τῶν ἐπ' ἔλαττον ἐνδεχομένων· διὰ ταῦτα μὲν οὖν τὸ ἐφ' ἡμῖν εἴρηται. τὸ δὲ δι' ἡμῶν, ἐπειδήπερ οὐ περὶ πάντων ἀνθρώπων, οὐδὲ περὶ παντὸς πράγματος βουλευόμεθα, ἀλλὰ περὶ τῶν ἐφ' ἡμῖν γινομένων μόνων. οὐ γὰρ βουλευόμεθα, πῶς οἱ πολέμιοι ἢ οἱ μακρὰν ἀπῳκισμένοι καλῶς πολιτεύοιντο· καίτοι τοῦτο παρ' ἐκείνοις βουλευτόν ἐστιν. ἀλλ' οὐδὲ περὶ πάντων τῶν δι' ἡμῶν γινομένων, καὶ ἐφ' ἡμῖν ὄντων βουλευόμεθα. ἀλλὰ δεῖ προσκεῖσθαι καὶ τὸ ἄδηλον ἐχόντων τὸ τέλος. ἐὰν γὰρ ᾖ φανερὸν καὶ ὁμολογούμενον, οὐκ ἔτι βουλευόμεθα· οὔτε γὰρ περὶ τῶν κατ' ἐπιστήμην ἢ τέχνην ἔργων ἢ πράξεων ἡ βουλὴ. ὡρισμένοι γὰρ τούτων οἱ λόγοι πλὴν ὀλίγων τεχνῶν τῶν καλουμένων στοχαστικῶν· οἷον ἰατρικῆς, καὶ γυμναστικῆς, καὶ κυβερνητικῆς. οὐ περὶ τούτων γὰρ βουλευόμεθα μόνον, ἀλλὰ περὶ τῶν ἐφ' ἡμῖν μὲν καὶ δι' ἡμῶν, ἄδηλον δὲ τὸ τέλος ἐχόντων καὶ δυναμένων καὶ οὕτως καὶ ἄλλως πρα-

χθῆναι. ἐδείχθη δὲ ὡς οὐδὲ περὶ τῦ τέλους, ἀλλὰ περὶ τῶν πρὸς τὸ τέλος ἡ βουλή. βουλευόμθα γὰρ οὐ πλουτῆσαι, ἀλλ' ὅπως καὶ δι' ὧν πλουτήσωμθ. συμβαλόντι δὲ εἰπεῖν περὶ τούτων μόνων βουλευόμθα, περὶ τῶν ἐπίσης ἐνδεχομένων· καὶ περὶ τούτων δεῖ δῆλα λαβεῖν· ἵνα μηδὲν ἐπλίπῃ τῷ λόγῳ πρὸς σαφήνειαν. δυνάμεις λέγονται, καθ' ἃς δυνάμθα ποιεῖν· παντὸς γὰρ οὗ ποιοῦμθ δύναμιν ἔχομθ. ὧν δὲ δύναμιν οὐκ ἔχομθ, τούτων οὐδὲ τὰς πράξεις ἔχεται οὖν ἡ μὲν πρᾶξις δυνάμεως, ἡ δὲ δύναμις οὐσίας. ἥτε γὰρ πρᾶξις ἀπὸ δυνάμεως, καὶ ἡ δύναμις ἀπὸ τῆς οὐσίας, καὶ ἐν οὐσίᾳ. τρία οὖν ταῦτα ἐστιν, ὡς ἔφαμθ, ἀλλήλων ἐχόμενα· δυναάμθον, δύναμις, δυνατόν· δυναάμθον μὲν ἡ οὐσία· δύναμις δὲ, ἀφ' ἧς ἔχομθ τὸ δύνασθαι· δυνατὸν δὲ τὸ κατὰ δύναμιν πεφυκὸς γίνεσθαι. γίνεται δὲ δυνατῶν τὰ μέν ἐστιν ἀναγκαῖα, τὰ δὲ ἐνδεχόμθα· ἀναγκαῖα μὲν ἅπερ ἀδύνατον κωλυθῆναι, ἢ ὧν καὶ τὸ ἀντικείμθον ἀδύνατόν ἐστιν. ἐνδεχόμθον δὲ τὸ δυναάμθον κωλυθῆναι, ἢ ὧν καὶ τὸ ἀντικείμθον δυνατόν ἐστι. διὸν ἀναγκαῖόν ἐστιν ἀναπνεῖν ἄνθρωπον ζῶντα· τούτῳ καὶ τὸ ἀντικείμθον ἀδύνατόν ἐστι τὸ μὴ ἀναπνεῖν ζῶντα. ἐνδεχόμθον δὲ, τὸ σήμερον ὄμβρον γίνεσθαι· ἀλλὰ καὶ τὸ ἀντικείμθον αὐτῷ δυνατόν τὸ μὴ γίνεσθαι σήμερον ὄμβρον. πάλιν δὲ τῷ ἐνδεχομένου τὰ μὲν ὡς ἐπὶ πολὺ λέγεται, τὰ δὲ ὡς ἐπ' ἐλάττον, τὰ δὲ ὡς ἐπίσης· ἐπὶ πολὺ μέν, ὡς τὸν ἑξηκοντούτην πολιοῦσθαι· ἐπ' ἔλαττον δὲ, ὡς τινα ἑξηκονταετῆ μὴ πολιοῦσθαι· ἐπίσης δὲ, τὸ περιπατῆσαι καὶ μὴ περιπατῆσαι, καὶ ἁπλῶς πρᾶξαί τι καὶ μὴ πρᾶξαι. περὶ τούτων οὖν τῶν ἐπίσης ἐνδεχομένων μόνον βουλευόμθα· ἔστι δὲ ἐπίσης ἐνδεχόμθον, ὃ αὐτό τε δυναάμθα καὶ τὸ ἀντικείμθον αὐτῷ· εἰ γὰρ μὴ ἀμφότερα ἐδυναάμθα αὐτό τε καὶ τὸ ἀντικείμθον, οὐκ ἂν ἐβουλευόμθα. οὔτε γὰρ περὶ τῶν ὁμολογουμένων, οὔτε περὶ τῶν ἀδυνάτων τις βουλεύεται· εἰ δὲ τὸ ἕτερον μόνον τῶν ἀντικειμένων ἐδυναάμθα, τοῦτο μὲν ἦν ὁμολογούμθον καὶ οὐδαμῶς ἀμφίβολον· τὸ δὲ ἀντικείμθον, ἀδύνατον.

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ. ΚΕΦ. ΛΕ'.

ΟΙ τῇ περιφορᾷ τῶν ἄστρων τὴν αἰτίαν τῶν γινομένων πάντων ὑπαγράφοντες, οὐ μόνον ταῖς κοιναῖς ἐννοίαις ἐναντιάζονται, ἀλλὰ καὶ πᾶσαν πολιτείαν ἄχρηστον ἀποφαίνουσιν. ἄτοποι μὲν γὰρ οἱ νόμοι. περιττὰ δὲ τὰ δικαστήρια κολάζοντα τοὺς ἀναιτίους· παράλογοι δὲ οἱ ψόγοι καὶ οἱ ἔπαινοι· ἀνόητοι δὲ καὶ αἱ εὐχαὶ πάντων καθ' εἱμαρμένῃ γινομένων. ὁρίζεται δὲ καὶ πρόνοια μετὰ τῆς εὐσεβείας πρὸς τῷ καὶ τὸν ἄνθρωπον ὄργανον μόνον εὐρίσκεσθαι τῆς ἄνωθεν περιφορᾶς. ὑπὸ ταύτης γὰρ κινεῖσθαι πρὸς τὰς πράξεις οὐ μόνον

τὰ μέρη τῶ σώματος, ἀλλὰ καὶ τὰ τῆς ψυχῆς διανοήματα· καὶ ὅλως οἱ ταῦτα λέγοντες, τῷ ἐφ' ἡμῖν συναναιροῦσι καὶ τὴν τῶ ἀνθρώπου φύσιν· καὶ οὕτως οὐδὲν ἄλλο ἢ τῷ παντὶ λυμαίνονται. ἄδικοι δὲ καὶ αὐτοὶ οἱ αἱρέσεις, τοὺς μὲν μοιχοὺς, τοὺς δὲ φονέας ἀπεργαζόμενοι· καὶ πρόγε τούτων ὁ δημιουργὸς αὐτῶν Θεὸς τὴν αἰτίαν ἀποφέρεται. εἰ τοιαῦτα κατεσκεύασεν ἀπ' ἀρχῆς κακῶν ἡμῖν τὴν ὑπόφορὰν ἐξ ἀνάγκης ὑπετίθησιν, ὡς μὴ μόνον ἐπὶ τῆς πολιτείας ἴσασθαι τὴν τούτων ἀτοπίαν, ἀλλὰ καὶ τῆς μεγίστων κακῶν ἀποφαίνειν αἴτιον τὸν Θεὸν· πρὸς τῷ καὶ ἀδύνατον ἀποδείκνυσθαι τὴν ὑποθεσιν αὐτῶν· ἀλλὰ ταῦτα μὲν οὔτε ἀκούειν ἀναχετὸν, πρόδηλον ἔχοντα τὴν ἀτοπίαν, καὶ βλασφημίαν. οἱ δὲ λέγοντες, ὅτι καὶ τὸ ἐφ' ἡμῖν καὶ τὸ καθ' εἱμαρμένην σώζεται (ἑκάτερον γὰρ τῶν γινομένων δεδόσθαί τι καθ' εἱμαρμένην ὡς τῷ ὕδατι τὸ ψύχειν, καὶ ἑκάστῳ τῶν φυτῶν τὸ τοιόνδε καρπὸν φέρειν, καὶ τῷ λίθῳ τὸ κατωφερὲς, καὶ τῷ πυρὶ τὸ ἀνωφερὲς, οὕτω καὶ τῷ ζώῳ τὸ συγκατατίθεσθαι καὶ ὁρμᾶν· ὅταν δὲ ταύτῃ τῇ ὁρμῇ μηδὲν ἀντιτίθεσῃ τῶν ἔξωθεν καὶ καθ' εἱμαρμένην, τότε τὸ περιπατεῖν τέλεον ἐφ' ἡμῖν εἶναι, & πάντως περιπατήσομεν) οἱ ταῦτα λέγοντες, εἰσὶ δὲ τῶν ἰδίων Χρύσιππός τε & Φιλοπάτωρ, καὶ ἄλλοι πολλοὶ καὶ λαμπροὶ, οὐδὲν ἕτερον ἀποδεικνύουσιν, ἢ φαίνεται καθ' εἱμαρμένην γίνεσθαι. εἰ γὰρ

εἰ γὰρ καὶ τὰς ὁρμὰς παρὰ τῆς εἱμαρμένης φασὶν ἡμῖν δεδόσθαι καὶ ταύτας ποτὲ μὲν ἀπὸ τῆς εἱμαρμένης ἐμποδίζεσθαι, ποτὲ δὲ μὴ, δῆλον ὡς πάντα καθ' εἱμαρμένην γίνεσθαι καὶ τὰ δοκοῦντα ἐφ' ἡμῖν εἶναι· καὶ πάλιν δὲ τοῖς αὐτοῖς λόγοις χρησόμεθα πρὸς αὐτοὺς δεικνύοντες τῆς δόξης τὴν ἀτοπίαν. εἰ γὰρ τῶν αὐτῶν αἰτιῶν περιεκτικόντων, ὡς φασὶν αὐτοὶ, πᾶσα ἀνάγκη τὰ αὐτὰ γίνεσθαι, καὶ οὐχ' οἷόντε ποτὲ μὲν οὕτως, ποτὲ δὲ ἄλλως γρυέσθαι, διὰ τὸ ἐξ ἀιῶνος ὑπεκπληρῶσθαι ταύτας, ἀνάγκη καὶ τὴν ὁρμὴν τὴν τῶ ζώου πάντη τε καὶ πάντως τῷ αὐτῶν αἰτιῶν περιεκτικόντων οὕτως γρυέσθαι· εἰ δὲ καὶ ἡ ὁρμὴ ἐξ ἀνάγκης ἐπακολουθεῖ, ποῦ λοιπὸν τὸ ἐφ' ἡμῖν; ἐλεύτερον γὰρ εἶναι δεῖ τὸ ἐφ' ἡμῖν. ἦν δ' ἂν ἐλεύθερον, εἰ τῷ αὐτῶν περιεκτικόντων, ἐφ' ἡμῖν ἦν τὸ ποτὲ ὁρμᾶν, ποτὲ μὴ ὁρμᾶν· εἰ δὲ ἐξ ἀνάγκης ἐπακολουθεῖ καὶ τὸ ὁρμᾶν, δῆλον ὡς καθ' εἱμαρμένην καὶ τὰ τῆς ὁρμῆς γρυήσεσθαι, εἰ καὶ ὑφ' ἡμῶν γίνεσθαι, καὶ κατὰ τὴν ἡμετέραν φύσιν καὶ ὁρμὴν καὶ κρίσιν. εἰ γὰρ οἷόν τε ἦν αὐτὴν καὶ μὴ γρυέσθαι, ψευδὴς ἂν ἦν ἡ προάρεσις ἡ λέγουσα, ὅτι τῷ αὐτῶν περιεκτικόντων αἰτιῶν, ἀνάγκη τὰ αὐτὰ ἕπεσθαι· οὕτω δὲ καὶ ἐπὶ τοῖς ἀλόγοις καὶ ἐπὶ τοῖς ἀψύχοις εὑρεθήσεσθαι. εἰ γὰρ τὴν ὁρμὴν ἐφ' ἡμῖν τάττουσιν, ὅτι φύσῃ ταύτῃ ἔχομεν, τί κωλύει καὶ ἐπὶ τῷ πυρὶ λέγειν εἶναι τὸ καίειν, ἐπειδὴ φύσῃ καίει τὸ πῦρ;

ὡς

ὡς που καὶ παρεμφαίνειν ἔοικεν ὁ Φιλοπάτωρ ἐν τῷ περὶ εἱμαρμένης. οὐκ ἄρα τὸ δι' ἡμῶν ὑπὸ τῆς εἱμαρμένης γινόμενον ἐφ' ἡμῖν ἐστι. τῷ γὰρ αὐτῷ λόγῳ καὶ ἐστὶ λύρα καὶ αὐλοῖς καὶ τοῖς ἄλλοις ὀργάνοις καὶ πᾶσιν ἀλόγοις τε καὶ ἀψύχοις ἔσται τι, ὅταν τινες δι' αὐτῶν ἐνεργῶσι· τοῦτο δὲ ἄτοπον.

ΠΕΡΙ ΤΗΣ ΔΙΑ ΤΩΝ ΑΣΤΡΩΝ ΕΙΜΑΡΜΕΝΗΣ. ΚΕΦ. ΑΣΤ'.

Πρὸς δὲ τοὺς σοφοὺς τῶν Αἰγυπτίων λέγοντας ἀληθεύεσθαι μὲν τὴν διὰ τῶν ἄστρων εἱμαρμένην, ἕπεσθαι δὲ αὐτὴν εὐχαῖς καὶ ἀποτροπασμοῖς, εἶναι γάρ τινας καὶ τούτων αὐτῶν τῶν ἀστέρων θεραπείας τὰς ἐκμειλισσομένας αὐτούς, καὶ ἄλλας τινὰς ὑπερκειμένας δυνάμεις τὰς τρέπειν αὐτοὺς δυναμένας, καὶ διὰ τοῦτο τὰς εὐχὰς καὶ τὰς θεραπείας τῶν Θεῶν, καὶ τοὺς ἀποτροπασμοὺς ὠφελεῖσθαι, ἐροῦμεν ὅτι τῶν ἐνδεχομένων καὶ οὐχὶ τῶν ἀναγκαίων ποιοῦσι τὴν εἱμαρμένην. τὸ δὲ ἐνδεχόμενον ἀόριστον· τὸ δὴ ἀόριστον ἄγνωστον. ἀνῄρηται οὖν διὰ τούτων πᾶσα μὲν μαντεία, μάλιστα δὲ ἡ τῶν καλουμένων γενεθλιαλόγων, ἣν αὐτοὶ πρὸ τῶν ἄλλων προσβεύουσιν· ὡς ἰσχύσει τι καὶ ἀληθὲς πρᾶγμα. ἐὰν δὲ λέγωσιν ὅτι τὰ τῶν σχημάτων ἀποτελέσματα πρόδηλα καὶ τοῖς ἔμπειροις γνωρίζεται, ὅταν δὲ τὸ σχῆμα μὴ κατὰ τὴν ἰδίαν δύναμιν ἀποβαίνῃ, Θεὸς ἐκώλυσεν,

λυσεν, ἐροῦμεν ὡς καὶ τοῦτο ἄτοπον· πρῶτον, ὅτι τὴν εὐχὴν μόνῳ ἐφ' ἡμῖν τίθενται καὶ τὴν θεραπείαν τῶν Θεῶν, ἄλλο δὲ οὐδέν. εἶτα ἀμφισβητήσομεν πρὸς αὐτοὺς, πῶς τῶν ἄλλων πασῶν τῶν ἀνθρωπίνων πραξέων τε καὶ προαιρέσεων· ἐν τῇ ποιᾷ σχέσει τῶν ἄστρων κειμένων τὸ τῆς εὐχῆς μόνης ἐφ' ἡμῖν ἐστιν. ἄπορον γὰρ διὰ πρίαν αἰτίαν οὕτως ἔχει τοῦτο· ἢ τίς ἡ ἀναγκη. ἔπειτα, εἰ τέχνη τίς ἐστι καὶ μέθοδος τῶν ἀποτροπασμῶν ἡ κωλύουσα τὰ περὶ τῆς εἱμαρμένης, πότερον πᾶσιν ἀνθρώποις ἡ μέθοδός ἐστιν ἐφικτὴ, ἢ τισὶ μὲν, τισὶ δὲ οὔ· εἰ γὰρ πᾶσιν, οὐδὲν κωλύει τῷ λόγῳ παντάπασιν ἀνατραπῆναι τὴν εἱμαρμένην πάντων μαθόντων τὴν τέχνην τὴν κωλύουσαν αὐτῆς τὰ ἀποτελέσματα. εἰ δὲ τισὶ μὲν ἐστιν ἐφικτὴ, τισὶ δὲ οὔ, ποῖος ἄρα καὶ τίς ὁ τοῦτο διορίζων; εἰ μὲν γὰρ αὐτὴ ἡ εἱμαρμένη τοὺς μὲν ποιεῖ θεραπευτὰς τοῦ θείου, τοὺς δὲ οὐ ποιεῖ, ἐυρεθήσεται πάλιν ταῦτα πάντα κατὰ τὴν εἱμαρμένην. τὸ γὰρ τῆς εὐχῆς καὶ τῆς θεραπείας οὐ μόνον ἐφ' ἡμῖν οὐκ ἔλαττον νῦν ἀνεφάνη τῆς εἱμαρμένης, ἀλλὰ καὶ μεῖζον. εἰ δὲ μὴ εἱμαρμένη· ἀλλ' ἕτερόν τι τούτων ἄϊτιον ἐστιν, ἐκεῖνο μᾶλλον εἱμαρμένη φανήσεται. ἐν γὰρ τῷ δύνασθαι δι' εὐχῆς κατορθοῦν ἢ μὴ δύνασθαι, τὸ πᾶν τῆς εἱμαρμένης περίεχεται κράτος. τοῖς μὲν γὰρ δυναμένοις, οὐδὲν ἡ εἱμαρμένη· τοῖς δὲ μὴ δυναμένοις, πάντως καθ' εἱμαρμένην· καὶ ἐυρεθή-

ρεθήσεται τισὶ μὲν ἀνθρώποις πάντα καθ' εἱμαρμένην, τισὶ δὲ οὐδὲν καθ' εἱμαρμένην. καὶ δῆλον ὅτι ὁ τοῦτο ὁρίζων αὐτός ἐστιν ἡ κυριωτάτη εἱμαρμένη· καὶ οὕτω πάντα πάλιν καθ' εἱμαρμένην εὑρεθήσεται πρὸς τοῦ ἄδικον εἶναι τὸν διανέμοντα, εἴτε δαίμων τίς ἐστιν, εἴτε καὶ ἄλλη τις εἱμαρμένη. οὐ γὰρ πρὸς ἀξίαν νέμει τοῖς ἀνθρώποις τὴν τῆς θεραπείας τῶν Θεῶν μέθοδον. τί γὰρ μᾶλλον οὗτος ἀξιος ἢ ἐκεῖνος, πάντων ὀργάνων ὄντων τῆς εἱμαρμένης, καὶ μηδὲν μηδενὸς ἐξ οἰκείας προαιρέσεως πράττοντος μᾶλλον δὲ μὴ προαιρουμένου; ἐν γὰρ τοῖς οὕτω γινομένοις οὐδεὶς οὔτε δίκαιος οὔτε ἄδικος. οὐκοῦν οὔτε ἄξιος οὔτε ἀνάξιός ἐστι χάριτος. ὁ δὲ τοῖς ἴσοις ἄνισα νέμων ἄδικος.

ΠΕΡΙ ΤΩΝ ΛΕΓΟΝΤΩΝ ΑΙΡΕΣΙΝ ΤΩΝ ΠΡΑΚΤΕΩΝ ΕΦ' ΗΜΙΝ ΕΙΝΑΙ, ΤΗΝ ΔΕ ΤΩΝ ΑΙΡΕΘΕΝΤΩΝ ΑΠΟΒΑΣΙΝ ΕΠΙ ΤΗ ΕΙΜΑΡΜΕΝΗ. ΚΕΦ. ΛΖ.

ΟΙ δὲ λέγοντες τὴν αἵρεσιν τῶν πρακτέων ἐφ' ἡμῖν εἶναι· τὴν δὲ τῶν αἱρεθέντων ἀποβασιν ἐπὶ τῇ εἱμαρμένῃ, εἰσὶ δὲ τῶν ἑλλήνων οἱ σοφώτατοι τὸ μέν τι κατορθοῦσι, τὸ δὲ σφάλλονται. τὸ μὲν γὰρ ἐφ' ἡμῖν τιθέναι τὰς αἱρέσεις τῶν πρακτέων, μὴ πάντως δὲ καὶ τὰς ἀποβάσεις ὀρθότατα λέγουσι.

γουσι. τὸ δὲ τῇ εἱμαρμένῃ περιάπτειν ταύτας οὐκ ὀρθῶς· ἐλεχθήσονται γὰρ πρῶτον μέν, ἀτελῆ ποιοῦντες τὴν εἱμαρμένην· εἰ τὸ μὲν ἔχει, τὸ δὲ οὐκ ἔχει· ἔπειτα πολλὰ κολούθημα ποιοῦντες αὐτὴν τῆς ἡμετέρας γνώμης. ταύτῃ γὰρ ἀκολουθεῖν φασὶ τὰ τῆς εἱμαρμένης ἔργα, καὶ οὕτως εὑρεθήσεται κινουμένη μᾶλλον ὑφ' ἡμῶν, ἢ κινοῦσα ἡμᾶς· καὶ κυριώτερος ὁ ἄνθρωπος τῆς εἱμαρμένης ὁ τυχὼν αὐτὴν διὰ τῆς αἱρέσεως ἑαυτῷ. διὸ βέλτιον πρόνοιαν λέγειν αἰτίαν τῆς ἐκβάσεως τῶν πραγμάτων. προνοίας γὰρ μᾶλλον τοῦτο ἔργον ἢ εἱμαρμένης. τῆς γὰρ προνοίας ἴδιον τὸ ἑκάστῳ νέμειν κατὰ τὸ ἑκάστῳ συμφέρον· καὶ διὰ τοῦτο τῶν αἱρεθέντων ἡ ἔκβασις κατὰ τὸ συμφέρον ποτὲ μὲν ἔσται, ποτὲ δὲ οὐκ ἔσται. εἰ δὲ ἡ εἱμαρμένη εἱρμός τις οὖσα αἰτιῶν ἀπαράβατος· οὕτω γὰρ αὐτὴν οἱ στωϊκοὶ ὁρίζονται, τουτέστι τάξιν, καὶ ὑπόσυνδεσιν * ἀπαράλλακτον, οὐ κατὰ τὸ συμφέρον, ἀλλὰ κατὰ τὴν οἰκείαν κίνησιν καὶ ἀνάγκην ἐπάγει τὰ τέλη· τί δ' ἂν εἴποιεν ἐπὶ τῶν παντελῶς ἠλιθίων καὶ μωρῶν, καὶ διὰ τοῦτο ἀπροαιρέτων; πότερον καθ' εἱμαρμένην αὐτοῖς τὸ τοιούτοις εἶναι προσέσται ἢ οὔ. εἰ γὰρ μὴ καθ' εἱμαρμένην, ἔξω πεσοῦνται τῆς εἱμαρμένης. εἰ δὲ καθ' εἱμαρμένην, ἐξ ἀνάγκης ἀκολουθεῖ τὸ μὴ δὲ τὴν προαίρεσιν ἐφ' ἡμῖν εἶναι· εἰ γὰρ τὸ ἀπροαίρετον ὑπὸ τὴν εἱμαρμένην, ἐξ ἀνάγκης καὶ τὸ προαιρετόν. καὶ οὕτως ἀναθραμοῦνται πρὸς τοὺς προ-

* ἀπαράβατον

πρώτους τοὺς λέγοντας πάντα καθ' εἱμαρμένην εἶναι. περιττὴ δὲ καὶ ἡ μάχη τὲ λογισμοῦ καὶ τῆς ἐπιθυμίας ἐπὶ τὲ ἐγκρατοῦς καὶ ἀκρατοῦς· εἰ γὰρ ἐξ ἀνάγκης ὥρισται τὸ μὲν πρᾶξαι, τὸ δὲ μὴ πρᾶξαι, τίς ἡ χρεία τῆς ἐν αὐτῷ φάσεως καὶ φιλονεικίας; ἀλλ' εἰ καὶ τὲτο συγκαθείμαρται μὴ μόνον πρᾶξαι, ἀλλὰ καὶ τοι ὡς δὲ πρᾶξαι, τί δ' ἄλλο φησὶν ὁ τὲτο λέγων ἢ ὅτι καὶ ἡ προαίρεσις τῶν πεπραγμένων ἐστὶν; ἡ γὰρ προαίρεσις ἐστὶν ἡ μαχομένη τῇ ἐπιθυμίᾳ ἡνικῶσα μὲν ἐπὶ τῶν ἐγκρατῶν, ἡττωμένη δὲ ἐπὶ τῶν ἀκρατῶν. οὐκ οὖν ἀνήρηται τὰ τῆς ἐξ ἀρχῆς αὐτοῖς ὑποθέσεως. οὐκ ἔτι γὰρ ἡ προαίρεσις ἐφ' ἡμῖν.

ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΛΕΓΕΙ ΠΛΑΤΩΝ ΤΗΝ ΕΙΜΑΡΜΕΝΗΝ. ΚΕΦ. ΛΗ'.

ΠΛΑΤΩΝ δὲ διχῶς λέγει τὴν εἱμαρμένην· τὴν μὲν κατ' οὐσίαν, τὴν δὲ κατ' ἐνέργειαν· κατ' οὐσίαν μὲν τὴν τοῦ παντὸς ψυχήν· κατ' ἐνέργειαν δὲ θεῖον νόμον ἀπαράβατον δι' αἰτίαν ἀναπόδραστον. καλεῖ δὲ τὲτον θεσμὸν ἀδράστειαν· τοῦτον δὲ τὸν νόμον δεδόσθαι παρὰ τὲ πρώτου καὶ ἀνωτάτου Θεοῦ τῇ παντὸς ψυχῇ εἰς διακόσμησιν τῶν ὅλων, καθ' ὃν διεξάγεται τὰ γινόμενα. ταύτην δὲ τὴν κατ' ἐνέργειαν εἱμαρμένην καὶ κατὰ πρόνοιαν λέγει. ἀπὸ γὰρ τῆς προνοίας ἐμπεριέχεσθαι

τὴν εἱμαρμένην, πᾶν γὰρ τὸ καθ' εἱμαρμένην καὶ κατὰ πρόνοιαν γίνεσθαι. οὐ μὴν πᾶν τὸ κατὰ πρόνοιαν καὶ καθ' εἱμαρμένην εἶναι. αὐτὸς δὲ ὁ θεῖος νόμος, ὃν φησιν εἶναι πρόνοιαν καὶ εἱμαρμένην, πάντα περιέχει ἐν ἑαυτῷ· τὰ μὲν καθ' ὑπόθεσιν, τὰ δὲ ἐξ ὑποθέσεως. τὰς μὲν γὰρ προηγουμένας αἰτίας, ὥσπερ πνας ἀρχὰς καὶ καθ' ὑπόθεσιν περιέχει, ἅπερ ἐστὶν ἐφ' ἡμῖν, συγκαταθέσεις, καὶ κρίσεις, καὶ ὁρμαί. τὰ δὲ ἐξ ἀνάγκης ταύταις ἑπόμενα ἐξ ὑποθέσεως ἐστίν. καί ἐστιν ἡ μὲν ἐφ' ἡμῖν αἵρεσις τῶν προαιρέσεων καθ' ὑπόθεσιν. ὑποκειμένων δὲ πάλιν τῶν ἐφ' ἡμῖν ἐξ αὐτῶν τούτων, ὥσπερ ἐξ ὑποθέσεως ἀκολουθεῖν τὰ τῆς εἱμαρμένης· διον ἐφ' ἡμῖν κεῖται τὸ πλεῦσαι· τοῦτο καθ' ὑπόθεσιν ἐστίν. ὑποκειμένου τοίνυν τὲ πλεῖν ἡμᾶς, ἐπακολουθῆσαι τὰ ἐκ ταύτης τῆς ὑποθέσεως τὸ ναυαγῆσαι ἢ μή. διὸ καὶ ἐξ ὑποθέσεως καλεῖ τὰ ἀδιακολουθοῦντα καὶ ἑπόμενα ταῖς ἐφ' ἡμῖν ὑποθέσεσι, τουτέστιν ἀρχαῖς καὶ πράξεσιν, ὡς εἶναι τὰ μὲν ἡγούμενα ἢ ἐφ' ἡμῖν καθ' ὑπόθεσιν· τὰ δὲ ἑπόμενα ἐξ ὑποθέσεως, ἢ οὐκ ἐφ' ἡμῖν, ἀλλ' ἐξ ἀνάγκης· μὴ γὰρ ἐξ ἀϊδίου ὡρίσθαι τὸ καθ' εἱμαρμένην, ἀλλ' ὑπισυμβαίνειν προηγησαμένοις ἐφ' ἡμῖν. τὲτῳ δὲ συμφωνεῖ καὶ τὸ αἰτία ἑλομένου, Θεὸς ἀναίτιος, καὶ τὸ ἀδέσποτον εἶναι τὴν ἀρετήν· καὶ τὸ εἶναι μαντείας· σωτείνει δὲ αὐτῷ πᾶς λόγος εἰς τὸ

τὰς προαιρέσεις καὶ πάντας ἡμᾶς κατὰ προαίρεσιν πράξεων ἐφ' ἡμῖν εἶναι· τὰ δὲ ἑπόμενα τούτοις καὶ τὰ τέλη ἐπὶ τῇ εἱμαρμένῃ ἐξ ἀνάγκης. τοῦτο δὲ ἐν τοῖς ἔμπροσθεν ἐδείχθη, μὴ καλῶς ἔχειν. καθ' ὃ μὲν οὖν καλεῖ Θεοῦ διάταξιν καὶ βούλησιν τὴν εἱμαρμένην, καὶ καθ' ὃ τὴν εἱμαρμένην ὑπάγει τῇ προνοίᾳ, μικρόν τι διαλλάττει πρὸς τὰ θεῖα λόγια, τὰ λέγοντα πρόνοιαν μόνην διοικεῖν τὰ πάντα. * κατὰ πολὺ δὲ διαφέρεται φάσκων ἐξ ἀνάγκης τοῖς ἐφ' ἡμῖν ἕπεσθαι τὰ τέλη. ἡμεῖς γὰρ οὐ κατ' ἀνάγκην ἐπάγεσθαι τὰ τῆς προνοίας φαμὲν, ἀλλ' ἐνδεχομένως. εἰ γὰρ κατ' ἀνάγκην, πρῶτον μὲν τὸ πολὺ τῆς εὐχῆς μέρος περικόπτεται· περὶ μόνων γὰρ τῶν ἀρχῶν τῆς πράξεως τὰ τῆς εὐχῆς ἔσται κατ' αὐτὸν, ὡς τε τὰ κρείττω ἑλέσθαι· μετὰ δὲ τὸ προελέσθαι, μάταια λοιπὸν τὰ τῆς εὐχῆς, τῆς ἑπομένων πάντων ἐξ ἀνάγκης ἐπαγομένων· ἡμεῖς δὲ καὶ ἐπὶ τούτοις μάλιστα δύνασθαι τὴν εὐχὴν διορίζομεν. ἐπὶ τῇ προνοίᾳ γὰρ εἶναι τὸ ναυαγῆσαι τὸν πλέοντα, καὶ μὴ· οὐκ ἐξ ἀνάγκης μέντοι τὸ ἕτερον αὐτῶν, ἀλλ' ἐνδεχομένως· οὐ γὰρ ὑπ' ἀνάγκην ὁ Θεὸς· οὐ δὲ τὴν βούλησιν αὐτοῦ δουλεύειν ἀνάγκη θεμιτὸν εἰπεῖν· καὶ γὰρ τῆς ἀνάγκης δημιουργός ἐστιν. ἀνάγκην μὲν γὰρ ἐπέθηκε τοῖς ἄστροις, ὡς τε ἀεὶ κατὰ τὰ αὐτὰ κινεῖσθαι, καὶ τὴν θάλασσαν περιώρισε· καὶ τοῖς καθόλου καὶ γενικοῖς

* τὰ λοιπὰ δὲ

ὅρον ἀναγκαῖον ἔθηκεν, ὃν εἰ βούλονται καλεῖν εἱμαρμένην, διὰ τοῦτο πάντη καὶ πάντως οὕτως γίνεσθαι κατὰ ἀνάγκην, ὡς πάντα τὰ κατὰ διαδοχὴν ἐν γενέσει φθείρεσθαι, λόγος οὐδείς. περὶ γὰρ ὀνομάτων οὐκ ἀμφισβητοῦμεν πρὸς αὐτούς. αὐτὸς δὲ φάσης ἀνάγκης οὐ μόνον ἐντὸς καθέστηκεν, ἀλλὰ καὶ κύριος καὶ ποιητής ἐστιν. ἐξουσία γὰρ ὢν καὶ φύσις ἐξουσιαστικὴ οὐδὲν οὔτε φύσεως ἀνάγκῃ, οὔτε θεσμῷ νόμου ποιεῖ. πάντα δὲ ἔστιν αὐτῷ ἐνδεχόμενα καὶ τὰ ἀναγκαῖα· καὶ ἵνα τοῦτο δειχθῇ, ἔστησε ποτὲ τὸν δρόμον ἡλίου καὶ σελήνης τῆς ἀνάγκῃ φερομένων καὶ ἀεὶ ὡσαύτως ἐχόντων· ἵνα δείξῃ μηδὲν αὐτῷ κατ' ἀνάγκην γίνεσθαι, ἀλλὰ πάντα κατ' ἐξουσίαν ἐνδεχόμενα. ἅπαξ δὲ τοιαύτην ἡμέραν ἐποίησεν, ὡς ἐπεσημήνατο καὶ ἡ γραφὴ, ἵνα μόνον ἐνδείξηται καὶ μὴ διαλύσῃ τὸν θεσμὸν τὸν ἐξ ἀρχῆς αὐτῷ τεθέντα τῆς ἀναγκαίας τῆς ἄστρων φορᾶς. οὕτω καί πινας τῶν ἀνθρώπων ἐν τῇ ζωῇ διαφυλάττει, ὡς τὸν Ηλίαν καὶ τὸν Ενὼχ θνητοὺς ὄντας καὶ ὑποκειμένους φθορᾷ, ἵνα διὰ πάντων τούτων τὴν ἐξουσίαν αὐτοῦ καὶ τὴν ἀπαραπόμαστον βούλησιν κατανοήσωμεν. οἱ δὲ στωϊκοὶ φασὶν ἀποκαθισταμένους τοὺς πλάνητας εἰς τὸ αὐτὸ σημεῖον κατά τε μῆκος καὶ πλάτος, ἔνθα τὴν ἀρχὴν ἕκαστος ἦν, ὅτε τὸ πρῶτον ὁ κόσμος συνέστη ἐν ῥηταῖς χρόνων περιόδοις ἐκπύρωσιν καὶ φθορὰν τῆς ὄντων ἀπεργάζεσθαι· καὶ πάλιν ἐξ

ὑπαρχῆς εἰς τὸ αὐτὸ τὸν κόσμον ἀποκαθίστασθαι· τῶν ἀστέρων ὁμοίως πάλιν φερομένων, ἕκαστον ἐν τῇ προτέρᾳ περιόδῳ γενόμενον ἀπαραλλάκτως ἀποτελεῖσθαι· ἔσεσθαι γὰρ πάλιν Σωκράτην, καὶ Πλάτωνα, καὶ ἕκαστον τῶν ἀνθρώπων σὺν τοῖς αὐτοῖς καὶ φίλοις καὶ πολίταις· καὶ τὰ αὐτὰ πείσεσθαι καὶ τὰ αὐτὰ μεταχειριεῖσθαι καὶ πᾶσαν πόλιν, καὶ κώμην, καὶ ἄγρον ὁμοίως ἀποκαθίστασθαι· γίνεσθαι δὲ τὴν ἀποκατάστασιν τοῦ παντὸς οὐχ ἅπαξ, ἀλλὰ πολλάκις· μᾶλλον δὲ εἰς ἄπειρον καὶ ἀτελεύτητον τὰ αὐτὰ ἀποκαθίστασθαι· τοὺς δὲ Θεοὺς τοὺς μὴ ὑποκειμένους τῇ φθορᾷ ταύτῃ παρακολουθήσαντας μιᾷ περιόδῳ γινώσκειν ἐκ ταύτης πάντα τὰ μέλλοντα ἔσεσθαι ἐν ταῖς ἑξῆς περιόδοις· οὐδὲν γὰρ ξένον ἔσεσθαι παρὰ τὰ γενόμενα πρότερον, ἀλλὰ πάντα ὡσαύτως ἀπαραλλάκτως ἄχρι καὶ τῶν ἐλαχίστων. καὶ διὰ ταύτην τὴν ἀποκατάστασιν, φασὶ τινὲς τοὺς Χριστιανοὺς τὴν ἀνάστασιν φαντάζεσθαι πολὺ πλανηθέντες· εἰς ἅπαξ γὰρ τὰ τῆς ἀναστάσεως καὶ οὐ κατὰ περίοδον ἔσεσθαι, τὰ τοῦ Χριστοῦ δοξάζει λόγια.

ΠΕΡΙ ΤΟΥ ΑΥΤΕΞΟΥΣΙΟΥ Ο ΕΣΤΙ ΤΟΥ ΕΦ' ΗΜΙΝ. ΚΕΦ. ΛΘ'.

Ο ΠΕΡΙ τοῦ αὐτεξουσίου λόγος, τουτέστι τοῦ ἐφ' ἡμῖν, πρώτην μὲν ἔχει ζήτησιν, εἰ ἔστι τί ἐφ' ἡμῖν. πολλοὶ

πολλοὶ γὰρ οἱ ἀντιβαίνοντες· δευτέραν δὲ, τίνα ἐστὶ τὰ ἐφ' ἡμῖν, καὶ τίνων ἐξουσίαν ἔχομεν· τρίτην, τὴν αἰτίαν ἐξετάσαι, δι' ἣν ὁ ποιήσας ἡμᾶς Θεὸς αὐτεξουσίους ἐποίησε. διαλαβόντες οὖν περὶ τοῦ πρώτου πρῶτον εἴπωμεν, ἀποδεικνύντες ὅτι ἔστι τι ἐφ' ἡμῖν ἐκ τῶν παρ' ἐκείνοις ὁμολογουμένων. τῶν γινομένων πάντων ἢ Θεὸν φασὶν αἴτιον εἶναι ἢ ἀνάγκην ἢ εἱμαρμένην ἢ φύσιν ἢ τύχην ἢ τὸ αὐτόματον, ἀλλὰ τοῦ μὲν Θεοῦ ἔργον οὐσία, καὶ πρόνοια· τῆς δὲ ἀνάγκης τῶν ἀεὶ ὡσαύτως ἐχόντων ἡ κίνησις· τῆς δὲ εἱμαρμένης τὸ ἐξ ἀνάγκης τὰ δι' αὐτῆς ἐπιτελεῖσθαι· καὶ γὰρ αὕτη τῆς ἀνάγκης ἐστὶ. τῆς δὲ φύσεως γένεσις, αὔξησις, φθορὰ, φυτὰ καὶ ζῶα· τῆς δὲ τύχης, τὰ σπάνια καὶ ἄπρος δόκητα· ὁρίζονται γὰρ τὴν τύχην σύμπτωσιν καὶ συνδρομὴν δύο αἰτιῶν ἀπὸ προαιρέσεως τὴν ἀρχὴν ἐχόντων, ἄλλό τι παρ' ὃ πέφυκεν ἀποτελούντων, ὡς τάφρον ὀρύσσοντα θησαυρὸν εὑρεῖν. οὔτε γὰρ ὁ θεὶς οὕτως τέθεικεν ὡς τοῦτον εὑρεῖν, οὔτε ὁ εὑρὼν οὕτως ὤρυξεν ὡς εὑρεῖν θησαυρόν. ἀλλ' ὁ μὲν, ἵν' ὅταν θέλῃ ἀνέληται· ὁ δὲ, ἵνα τάφρον ὀρύξῃ, συνέπεσε δὲ ἄλλό τι παρ' ὃ προήρηντο ἀμφότεροι. τοῦ δὲ αὐτομάτου τὰ τῶν ἀψύχων ἢ ἀλόγων συμπτώματα ἄνευ φύσεως καὶ τέχνης· τίνι τοίνυν τούτων ὑπαγάγωμεν τὰ διὰ τῶν ἀνθρώπων, εἴπερ ὁ ἄνθρωπος οὐκ ἔστιν αἴτιος καὶ ἀρχὴ πράξεων; ἀλλ' οὔτε Θεῷ θεμιτὸν ἐπιγράφειν αἰσχρὰς

ἐσθ' ὅτε πράξεις καὶ ἀδίκους· οὔτε ἀνάγκῃ, οὐ γὰρ τῶν ἀεὶ ὡσαύτως ἐχόντων ἐστὶν· οὔτε εἱμαρμένῃ, οὐ γὰρ τῶν ἐνδεχομένων, ἀλλὰ τῶν ἀναγκαίων τὰ τῆς εἱμαρμένης ἐστὶν· οὔτε φύσει, φύσεως γὰρ ἔργα ζῶα καὶ φυτὰ· οὔτε τύχῃ, οὐ γὰρ σπάνοι καὶ ἀπροσδόκητοι τῶν ἀνθρώπων αἱ πράξεις· οὔτε τῷ αὐτομάτῳ, ἀψύχων γάρ ἐστιν ἢ ἀλόγων τὰ συμπτώματα. λείπεται δὴ αὐτὸν τὸν πράττοντα καὶ ποιοῦντα ἄνθρωπον ἀρχὴν εἶναι τῶν ἰδίων ἔργων, καὶ αὐτεξούσιον· ἔτι εἰ μηδεμιᾶς ἐστιν ἀρχὴ πράξεως ἄνθρωπος, περιττῶς ἔχει τὸ βουλεύεσθαι. εἰς τί γὰρ χρήσεται τῇ βουλῇ μηδεμιᾶς ὢν πράξεως κύριος; τὸ δὲ κάλλιστον καὶ τιμιώτατον ἐν ἀνθρώπῳ, περιττὸν ἀποφαίνειν τῶν ἀτοπωτάτων ἂν εἴη. εἰ τοίνυν βουλεύεται, πράξεως ἕνεκα βουλεύεται· πᾶσα γὰρ βουλὴ πράξεως ἕνεκα καὶ διὰ πρᾶξιν. ἔτι ὧν αἱ ἐνέργειαι ἐφ' ἡμῖν, τούτων καὶ αἱ πράξεις αἱ κατὰ τὴν ἐνέργειαν ἐφ' ἡμῖν· ἐφ' ἡμῖν δὲ αἱ κατὰ τὰς ἀρετὰς ἐνέργειαι, ἐφ' ἡμῖν ἄρα καὶ αἱ ἀρεταί. ὅτι δὲ ἐφ' ἡμῖν αἱ κατ' ἀρετὴν ἐνέργειαι, δηλοῖ καὶ τὸ καλῶς ὑπὸ Αριστοτέλους λεχθὲν ἐπὶ τῶν ἠθικῶν ἀρετῶν. ἃ γὰρ ποιοῦντες μανθάνομεν, ταῦτα μαθόντες ποιοῦμεν. κρατεῖν γὰρ ἡδονῶν μανθάνοντες, σώφρονες γινόμεθα· καὶ γινόμενοι σώφρονες, κρατοῦμεν ἡδονῶν. ἔστι δὲ καὶ οὕτως εἰπεῖν. τὸ μελετᾶν καὶ γυμνάζεσθαι παρὰ πᾶσιν ὡμολόγηται ἐφ' ἡμῖν εἶναι. αἱ δὲ μελέται τῶν ἕξεων εἰσὶ κυρίαι·

κυρίαι· τὸ γὰρ ἔθος φύσις ἐπίκτητος. εἰ δὲ κυρία τῆς ἕξεως ἐστὶν ἡ μελέτη, ἐφ' ἡμῖν δὲ ἡ μελέτη, ἐφ' ἡμῖν καὶ ἡ ἕξις. ὧν δὲ ἐφ' ἡμῖν αἱ ἕξεις, τούτων ἐφ' ἡμῖν καὶ αἱ πράξεις, αἱ κατὰ τὰς ἕξεις. ταῖς γὰρ ἕξεσιν αἱ πράξεις πρόσφοροι. ἄρα ὁ δικαίαν ἕξιν ἔχων, δίκαια καὶ πράξει· καὶ ὁ ἄδικον, ἄδικα· ἐφ' ἡμῖν ἄρα τὸ δικαίους εἶναι ἢ ἀδίκους. ὅτι δὲ ἐφ' ἡμῖν ἐστι τινὰ, δηλοῦσιν αἱ προτροπαὶ καὶ αἱ παραινέσεις. οὐδεὶς γὰρ ἀνθρώπων προτρέπει μὴ πεινῆν, μὴ δὲ διψῆν, μὴ δὲ ἵπτασθαι· οὐ γὰρ ἐφ' ἡμῖν ταῦτα. δῆλον οὖν, ὅτι ἐφ' οἷς αἱ προτροπαὶ, ταῦτα ἐφ' ἡμῖν ἐστιν. ἔτι εἰ μηδὲν ἐφ' ἡμῖν, περιττοὶ οἱ νόμοι· φυσικῶς δὲ πᾶν ἔθνος νόμοις χρᾶται τισὶν, ἐπιστάμενον ὡς ἐξουσίαν ἔχει πράττειν ἃ νομοθετεῖ· καὶ τὰ πλεῖστα τῶν ἐθνῶν Θεοὺς ἐπιγράφεται νομοθέτας, ὡς Κρῆτες μὲν τὸν Διὰ, Λακεδαιμόνιοι δὲ Απόλλωνα. φυσικῶς ἄρα πᾶσιν ἀνθρώποις ἡ γνῶσις τοῦ ἐφ' ἡμῖν συγκατέσπαρται. τὰ αὐτὰ δὲ τούτοις ῥητέον ἐπὶ τῶν ψόγων καὶ τῶν ἐπαίνων καὶ πάντων τῶν ἀναιρούντων τὸ καθ' εἱμαρμένην πάντα γίνεσθαι.

ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΕΣΤΙΝ ΕΦ' ΗΜΙΝ ΤΙΝΑ, ΚΕΦ. Μ'.

Οτι μέν ἐστιν ἐφ' ἡμῖν τινὰ, καὶ ὅτι κύριοι πράξεων τινῶν ἐσμὲν, αὐτάρκως ἀποδέδεικται. λοιπὸν δὲ εἴπωμεν, τίνα ἐστὶ τὰ ἐφ' ἡμῖν. λέγομεν τοίνυν γενικῶς πάντα τὰ δι' ἡμῶν ἑκουσίως πρατ-

τόμενα ἐφ' ἡμῖν εἶναι. οὐ γὰρ ἂν ἑκουσίως ἐλέγχεσθαι πράττεσθαι, τῆς πράξεως οὐκ οὔσης ἐφ' ἡμῖν, καὶ ἁπλῶς ὃις ἔπεται ψόγος ἢ ἔπαινος, καὶ ἐφ' ὃις ὃτι προτρεπτὴ νόμος· καὶ τάδε γὰρ ἐν τοῖς ἔμπροσθεν ἐδείχθη, κυρίως δὴ ἐφ' ἡμῖν ὃτι τὰ ψυχικὰ πάντα καὶ περὶ ὧν βουλευόμεθα. ὡς γὰρ ἐφ' ἡμῖν ὄντος τοῦ πράξαι τὸ προκείμενον· ἐδείχθη δὲ ἐν τοῖς προλαβοῦσιν ἡ βουλὴ περὶ ἐπῶσης ἐνδεχομένων οὖσα. ἐπῶσης δὲ ἐνδεχόμενον ἐστὶν ὃ αὐτότε δυνάμεθα καὶ τὸ ἀντικείμενον αὐτῷ· ποιεῖται δὲ τούτου τὴν αἵρεσιν ὁ νοῦς ὁ ἡμέτερος, καὶ ὗτος ἐστὶν ἀρχὴ πράξεως· καὶ ταῦτα ἐστὶ τὰ ἐφ' ἡμῖν τὰ ἐπῶσης ἐνδεχόμενα, οἷον τὸ κινεῖσθαι καὶ μὴ κινεῖσθαι, ὁρμᾶν καὶ μὴ ὁρμᾶν, ὀρέγεσθαι τῶν μὴ ἀναγκαίων καὶ μὴ ὀρέγεσθαι, ψεύδεσθαι καὶ μὴ ψεύδεσθαι, διδόναι, καὶ μὴ διδόναι, χαίρειν ὃις δεῖ καὶ μὴ χαίρειν, καὶ ὅσα τοιαῦτα ἐν οἷς ὃτι τὰ μὲν κακίας καὶ ἀρετῆς ἔργα· τούτων γὰρ ἐσμὲν αὐτεξούσιοι. τῶν δὲ ἐπῶσης ἐνδεχομένων εἰσὶ καὶ αἱ τέχναι, πᾶσα γὰρ τέχνη περὶ γένεσιν ἐστὶ τῶν ἐνδεχομένων καὶ εἶναι καὶ μὴ εἶναι, καὶ ὧν ἡ ἀρχὴ ἐν τῷ ποιοῦντι, ἀλλ' οὐκ ἐν τῷ ποιουμένῳ. οὐδὲν γὰρ οὔτε τῶν ἀϊδίων καὶ ἐξ ἀνάγκης ὄντων, οὔτε τῶν ἐξ ἀνάγκης γινομένων κατὰ τέχνην γίνεσθαι λέγεται. ἀλλ' οὔτε τῶν γινομένων ἐν τοῖς ἐνδεχομένοις καὶ ἄλλως ἔχειν, ἐν αὐτοῖς δὲ ἐχόντων τὸ ποιητικὸν αἴτιον, ὡς ἐπὶ τῶν ζώων καὶ φυτῶν κατὰ τέχνην τι λέγεται γίνεσθαι. φύσει γὰρ καὶ

καὶ οὐ τέχνῃ. εἰ δὲ τῶν κατὰ τέχνην γινομένων ἐξῶθέν ὃτι τὸ ποιητικὸν αἴτιον, τίς ἄρα αἴτιος τῶν κατὰ τέχνην γινομένων; ἢ ὁ ποιῶν τεχνίτης; ἐν γὰρ τῷ τεχνίτῃ τὸ ποιεῖν. οὗτος ἄρα ἀρχὴ καὶ αἴτιος πράξεων ἐστίν. ἐφ' ἡμῖν ἄρα καὶ αἱ κατὰ τέχνην ἐνέργειαι καὶ ἀρεταὶ καὶ πᾶσαι πράξεις ψυχικαί τε καὶ λογικαί. ἐδείχθη δὲ ἐν τοῖς ἔμπροσθεν, ποῖαι εἰσὶν ἐνέργειαι ψυχικαί. οἱ δὲ πολλοὶ νομίζοντες λέγεσθαι τὸ αὐτεξούσιον ἐπὶ πάσης πράξεώς τε καὶ κτήσεως καὶ τύχης, ἀποδοκιμάζουσιν εἰκότως τὸν λόγον. οἱ δὲ ἀριμύτεροι καὶ τὸ τῆς γραφῆς εἰς ἔλεγχον φέροντες τὸ, οὐκ ἐπ' ἀνθρώπῳ αἱ ὁδοὶ αὐτοῦ, ὧ βέλτιστοι φασὶ πῶς αὐτεξούσιος ὁ ἄνθρωπος ὁ ποτὲ οὐκ ἐπ' αὐτῷ ἡ ὁδὸς αὐτοῦ, καὶ μάταιοι οἱ διαλογισμοὶ τῶν ἀνθρώπων, ὡς μὴ δυναμένων ἡμῶν εἰς ἔργον ἄγειν ἃ διανοούμεθα, καὶ τοιαῦτα πολλά φασιν, ἀγνοοῦντες ὅπως λέγεται τὸ αὐτεξούσιον· οὐ γὰρ τὸ πλουτεῖν ἢ πένεσθαι ἢ διὰ παντὸς ὑγιαίνειν, ἢ ῥωμαλέους εἶναι κατὰ φύσιν ἢ τὸ ἄρχειν ἢ ὅλως τῶν ὀργανικῶν ἢ τυχηρῶν λεγομένων ἀγαθῶν, ἢ τῶν κατὰ πρόνοιαν τὸ τέλος λαμβανόντων ἐξουσίαν ἔχομεν, ἀλλὰ τῶν κατ' ἀρετὴν καὶ κακίαν πράξεων καὶ προαιρέσεων καὶ κινήσεων· καὶ ὧν ἐξίσης καὶ τὰ ἀντικείμενα πρᾶξαι δυνάμεθα· ἐπεὶ δὴ πάσης πράξεως προαίρεσις ἡγεῖται· καὶ οὐ μόνον ἡ πρᾶξις, ἀλλὰ καὶ ἡ προαίρεσις ὑπόδηλός ὃτι· καὶ τοῦτο δηλοῖ τὸ ἐν τῷ εὐαγγελίῳ·

ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν,
» ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· καὶ ὁ
» Ἰὼβ ὑπὲρ τῶν κατὰ διάνοιαν τῶν τέκνων αὐτοῦ
πλημμελημάτων ἔθυε τῷ Θεῷ. ἀρχὴ γὰρ ἁμαρ-
τίας καὶ δικαιοπραγίας ἡ προαίρεσις. τὸ γὰρ ἔρ-
γον ποτὲ μὲν συγχωρεῖται παρὰ τῆς προνοίας,
ποτὲ δὲ κωλύεται· ὄντος γὰρ καὶ τοῦ ἐφ' ἡμῖν, ὄυσης
δὲ καὶ τῆς προνοίας, ἀνάγκη κατ' ἄμφω τὰ γινό-
μενα γίνεσθαι· εἰ γὰρ κατὰ τὸ ἕτερον μόνον ἐγίνετο,
οὐκ ἦν ἂν τὸ ἕτερον. μικτῶν δὲ ὄντων τῶν γινομένων
ποτὲ μὲν κατὰ τὸ ἐφ' ἡμῖν ἀποβήσεται, ποτὲ δὲ
κατὰ τὸν τῆς προνοίας λόγον, ποτὲ δὲ κατ' ἀμ-
φότερα. τῆς δὲ προνοίας πῇ μὲν κοινῆς ὄυσης, πῇ
δὲ ἰδιαζούσης, ἀνάγκη τοῖς καθόλου τὰ κατὰ μέ
ρος ὁμοιοπαθεῖν· τοῦ γὰρ περιέχοντος ξηροῦ ὄντος
ξηραίνεται τὰ σώματα, εἰ καὶ μὴ πάντα ὁμοίως·
καὶ μητρὸς δὲ οὐκ εὖ διαιτημένης καὶ τρυφώσης
ἀκολούθως τὰ τικτόμενα καὶ τοῖς σώμασι δύς
κρατα, καὶ ταῖς ὁρμαῖς παράφορα γενναῖται. δῆλον
οὖν ἐκ τῶν εἰρημένων, ὅτι συμβαίνει καὶ κράσει σώ-
ματος οὐκ εὐτυχεῖ περιπεσεῖν ἢ τῷ κοινῷ τοῦ πε-
ριέχοντος, ἢ ἐξ ἑκουσίας διαίτης τῶν γεννησάντων,
ἢ καὶ αὐτῶν ἐκείνων ἀπὸ τρυφῆς διεφθαρμένων·
ὥστε τὰς κράσεις ἐξ ἑκουσίας ἀρχῆς ἐσθ' ὅτε φαύ-
λας κατασκευάζεσθαι, καὶ μὴ τὴν πρόνοιαν πάν-
τως αἰτίαν εἶναι τῶν τοιούτων. ὅτ' ἂν οὖν ψυχὴ
κράσει σώματος ἐνδοῦσα ἐπιθυμίαις ἢ θυμοῖς
ἑαυτὴν

ἑαυτὴν ἐκδώῃ, καὶ ἀπὸ τῶν λυπηρῶν καταπιεσθῇ,
ἢ χαυνωθῇ, οἷον πενίας ἢ πλούτου, ἑκούσιον κακὸν
ὑφίσταται. ἡ γὰρ μὴ ἐνδοῦσα κατορθοῖ καὶ νικᾶ τὸ
δύσκρατον, ὡς ἀλλοιῶσαι μᾶλλον ἢ ἀλλοιωθῆναι·
καὶ καθίστησι τὰς ψυχικὰς διαθέσεις εἰς ἑξίαν ἀ-
γωγῇ χρηστῇ καὶ διαίτῃ προσφόρῳ. δῆλον οὖν ἐκ
τῶν κατορθούντων, ὡς οἱ μὴ κατορθώσαντες ἑκου-
σίως ἁμαρτάνουσιν. ἐφ' ἡμῖν γὰρ ἢ συνδραμεῖν ταῖς
δυσκρασίαις ἢ ἀντιβῆναι καὶ κρατῆσαι. οἱ δὲ πολ-
λοὶ τὴν δυσκρασίαν ὡς αἰτίαν τῶν παθῶν προ-
βαλλόμενοι, ἀνάγκῃ καὶ οὐ προαιρέσει τὴν κακίαν
ἐπιγράφουσι· καὶ διὰ τοῦτο φασὶ, μὴ δὲ τὰς ἀρετὰς
ἐφ' ἡμῖν εἶναι ἀτόπως λέγοντες.

ΔΙΑ ΠΟΙΑΝ ΑΙΤΙΑΝ ΑΥΤΕΞΟΥΣΙΟΙ ΓΕΓΟΝΑΜΕΝ. ΚΕΦ. ΜΑ'.

ΥΠΟΛΟΙΠΟΝ ἐστιν εἰπεῖν, διὰ ποίαν αἰτίαν
αὐτεξούσιοι γεγόναμεν· φαμὲν τοίνυν εὐθέως τῷ
λογικῷ συνεισέρχεσθαι τὸ αὐτεξούσιον, καὶ τοῖς
γεννητοῖς συμπεφυκέναι μεταβολὴν καὶ τροπὴν,
μάλιστα τοῖς ἐξ ὑποκειμένης ὕλης γενομένης. ἀρ-
χὴ γὰρ γενέσεως τροπὴ· ἐξ ἀλλοιώσεως γὰρ τῆς
ὑποκειμένης ὕλης, ἡ γένεσις· κατανοήσειε δ' ἄν τις
τὸ λεγόμενον, ἀποβλέπων εἴς τε τὰ φυτὰ πάν-
τα καὶ τὰ ζῶα καὶ τὰ χερσαῖα καὶ τὰ ἔνυδρα καὶ
πτηνά· συνεχὴς γὰρ ἡ τούτων μεταβολὴ. ὅτι δὲ τῷ
λογικῷ συνεισέρχεται τὸ αὐτεξούσιον, ἐκ τῶν
εἰρημέ-

εἰρημένων περὶ τοῦ ἐφ' ἡμῖν εἶναι τί τοῖς μὴ παρέργως ἀκηκόοσιν ἔυδηλον ἐστὶν. οὐδὲν δὲ ἴσως ἄτοπον καὶ νῦν ὑπομνῆσαι τῶν αὐτῶν, τῆς ἀκολουθίας ἐπιζητούσης αὐτά· τοῦ λογικοῦ, τὸ μέν ἐστι θεωρητικὸν, τὸ δὲ πρακτικὸν· θεωρητικὸν μὲν, τὸ κατανοοῦν ὡς ἔχει τὰ ὄντα· πρακτικὸν δὲ τὸ βουλευτικὸν, τὸ ὁρίζον τοῖς πρακτοῖς τὸν ὀρθὸν λόγον· καὶ καλοῦσι τὸ μὲν θεωρητικὸν, νοῦν· τὸ δὲ πρακτικὸν, λόγον· καὶ τὸν μὲν σοφίαν, τὸν δὲ φρόνησιν. πᾶς δὲ ὁ βουλευόμενος ἐπ' αὐτῷ τῆς αἱρέσεως ὄυσης τῶν πρακτέων βουλεύεται, ἵνα τὸ προκριθὲν ἐκ τῆς βουλῆς ἕληται καὶ ἑλόμενος πράξῃ. πᾶσα τοίνυν ἀνάγκη τὸν ἔχοντα τὸ βουλεύεσθαι καὶ κύριον εἶναι πράξεων. εἰ γὰρ μὴ κύριος εἴη πράξεων, περιττῶς ἔχει τὸ βουλεύεσθαι· εἰ δὲ τοῦτο, ἐξ ἀνάγκης παρυφίσταται τῷ λογικῷ τὸ αὐτεξούσιον· ἢ γὰρ οὐκ ἔσται λογικὸν, ἢ λογικὸν ὂν, κύριον ἔσται πράξεων· κύριον δὲ ὂν πράξεων, πάντως αὐτεξούσιον ἔσται· ἐδείχθη δὲ καὶ τὰ ἐξ ὑποκειμένης ὕλης γεννητὰ τρεπτὰ ὄντα. ἐξ ἀμφοτέρων ἄρα συνάγεται τὸν ἄνθρωπον ἐξ ἀνάγκης αὐτεξούσιον καὶ τρεπτὸν εἶναι· τρεπτὸν μὲν, ἐπειδὴ γεννητὸς· αὐτεξούσιον δὲ, ἐπειδὴ καὶ λογικὸς. ὅσοι τοίνυν αἰτιῶνται τὸν Θεὸν, ὅτι τὸν ἄνθρωπον οὐκ ἐποίησε κακίας ἀνεπίδεκτον, ἀλλ' αὐτεξούσιον, λανθάνουσιν ἑαυτοὺς αἰτιώμενοι τὸν Θεὸν, ὅτι λογικὸν ἐποίησε τὸν ἄνθρωπον, καὶ οὐκ ἄλογον· ἀνάγκη γὰρ τῶν δύο

δύο, τὸ ἕτερον, ἢ ἄλογον γενέσθαι, ἢ λογικὸν ὄντα καὶ περὶ τὰ πρακτέα συστρεφόμενον αὐτεξούσιον εἶναι. ἐξ ἀνάγκης οὖν πᾶσα φύσις λογικὴ αὐτεξούσιός ἐστι καὶ τρεπτὴ κατὰ τὴν ἑαυτῆς φύσιν· ἀλλ' αἱ μὲν ἐξ ὑποκειμένης ὕλης γενόμεναι κατὰ δύο τρόπους τὸ τρεπτὸν ἔχουσι· κατά τε τὴν ὕλην καὶ κατ' αὐτὸ τὸ γενέσθαι. ὅσαι δὲ οὐκ ἐξ ὑποκειμένης ὕλης ἐγένοντο, καθ' ἕνα μόνον τρόπον τὸν τῆς γενέσεως εἰσὶ τρεπτὶ· πάλιν δὲ τούτων τῶν αὔλων ὅσαι μὲν ἐν τοῖς περιγείοις εἰσὶ τῇ κοινωνίᾳ τῇ πρὸς τοὺς ἀνθρώπους περὶ τὰ πρακτέα καταγινόμεναι, μᾶλλον εἰσὶ τῶν ἄλλων τρεπταὶ. ὅσαι δὲ δι' ἀκρότητα φύσεως τῷ Θεῷ κατὰ σχέσιν πλησιάζουσι, καὶ τῇ τούτου κατανοήσει τὸ μακάριον καρποῦνται, πρὸς ἑαυτὰς, καὶ τὸν Θεὸν μόνον ἐστραμμέναι, τῶν μὲν πρακτῶν καὶ τῆς ὕλης παντάπασιν ἑαυτὰς ἀπηλλοτρίωσαν, τῇ δὲ θεωρίᾳ καὶ τῷ Θεῷ προσωκείωσαν, μένουσιν ἄτρεπτοι· αὐτεξούσιοι μὲν οὖσαι διὰ τὸ λογικὰς εἶναι, οὐ μὲν τρεπόμεναι διὰ τὰς προειρημένας αἰτίας. καὶ θαῦμα γε οὐδὲν· καὶ γὰρ τῶν ἀνθρώπων ὅσοι θεωρητικοὶ γενόμενοι τῶν πρακτῶν ἑαυτοὺς ἐχώρισαν, ἔμειναν ἄτρεπτοι. οἶμαι συναποδεδεῖχθαι τοῖς εἰρημένοις· ὅτι τὴν ἀρχὴν αἱ λογικαὶ πᾶσαι φύσεις ἄριστα δεδημιούργηνται· καὶ εἴπερ οὕτω διέμειναν, ὡς ἐξ ἀρχῆς ἐκτίσθησαν, πάσης ἂν κακίας ἐκ τὸς ἦσαν· γίνεται δὲ αὐταῖς ἡ κακία κατὰ προαίρεσιν·

αἵρεσιν· οὕτω γοῦν αἱ μείνασαι κατὰ τὴν ἐξ ἀρχῆς γένεσιν, τὸ μακάριον ἔχουσι. μόνοι δὲ ἄγγελοι τῶν ἀσωμάτων ἐτράπησαν, καὶ οὐ δὲ αὐτοὶ πάντες, ἀλλὰ τινὲς ἐξ αὐτῶν. ὅσοι ῥέψαντες πρὸς τὰ κάτω τῆς ὑπηγείων ἔφεσιν ἔσχον, τῆς περὶ τὰ ἄνω καὶ τὸν Θεὸν σχέσεως ἀποχωρήσαντες. οὐκοῦν ἐκ τῶν δεδειγμένων δῆλον ἐστὶν, ὡς ἕνεκα τῆ φύσει τρεπτοὺς ἡμᾶς εἶναι, τὰς δυνάμεις τὰς προαιρετικὰς τρεπτὰς ἔχομεν, οὐ μὴν διὰ τὸ ἔχειν τρεπτὰς δυνάμεις τοῦ κακοὺς ἡμᾶς εἶναι, τὸν Θεὸν ἄν τις αἰτιάσαιτο. οὐ γὰρ ἐν ταῖς δυνάμεσιν εἰσὶν αἱ κακίαι, ἀλλ' ἐν ταῖς ἕξεσιν· αἱ δὲ ἕξεις κατὰ προαίρεσιν· κατὰ προαίρεσιν ἄρα κακοὶ γινόμεθα, καὶ οὐ κατὰ φύσιν ἐσμέν. μάθοι δ' ἄν τις ἀκριβέστερον τὸ λεγόμενον οὕτως. ἐν τοῖς προλαβοῦσιν δύναμιν ἐλέγομεν εἶναι, ἀφ' ἧς ἕκαστον, ὧν ποιοῦμεν, ποιεῖν δυνάμεθα. πᾶσα δὲ προαιρετικὴ δύναμις ἡ αὐτὴ τῶν ἀντικειμένων ἐστί· μία γὰρ καὶ ἡ αὐτὴ δύναμις τὸ ψεύδεσθαι καὶ ἀληθεύειν, καὶ μία καὶ ἡ αὐτὴ δύναμις τοῦ σωφρονεῖν καὶ ἀκολασταίνειν. οὐκέτι δὲ ἡ αὐτὴ ἕξις τῶν ἀντικειμένων, οἷον τὸ ἀκολασταίνειν καὶ σωφρονεῖν ἢ τὸ ψεύδεσθαι καὶ ἀληθεύειν, ἀλλὰ τῶν ἐναντίων αἱ ἐναντίαι· τὸ μὲν γὰρ σωφρονεῖν τῆς κατ' ἀρετὴν ἐστὶ ἕξεως· τὸ δὲ ἀκολασταίνειν τῆς κακίας. οὐκ εἰσὶν ἄρα τῶν δυνάμεων αἱ κακίαι, ἀλλὰ τῶν ἕξεων καὶ τῆς προαιρέσεως. οὐ γὰρ ἡ δύναμις

μις ἐστὶν ἡ ἡμᾶς πλημμελεῖν ποιοῦσα ἀκολασταίνειν ἢ ψεύδεσθαι, ἀλλ' ἡ προαίρεσις. ἐφ' ἡμῖν γὰρ ἦν ἀληθεύειν καὶ μὴ ψεύδεσθαι. εἴπερ ἔν τισιν ἡ κακία δύναμις, ἀλλ' ἕξις, οὐχ' ὁ τὴν δύναμιν δοὺς αἴτιος ἡμῖν τῶν κακῶν, ἀλλ' ἡ ἕξις ἡ παρ' ἡμῶν καὶ δι' ἡμᾶς προσγινομένη. ἐξῆν γὰρ τὴν ἐναντίαν ἕξιν ἐκ τῆς γυμνασίας κτήσασθαι καὶ μὴ τὴν φαύλην· διαφέρει δὲ δύναμις ἕξεως, τῷ πάσας μὲν τὰς δυνάμεις φυσικὰς εἶναι· τὰς δὲ ἕξεις ἐπεισάκτους· καὶ τῷ τὰς μὲν δυνάμεις ἀδιδάκτους εἶναι, τὰς δὲ ἕξεις ἐκ μαθήσεως καὶ ἔθους προσγίνεσθαι. εἰ τοίνυν ἡ δύναμις φυσική τις καὶ ἀδίδακτος, ἡ δὲ ἕξις ἐπίκτητος καὶ διδακτὴ, οὐχ' ἡ φύσις αἰτία τῶν κακῶν, ἀλλὰ τὸ κακῶς ἡμᾶς ἦθαι, καὶ διὰ τοῦτο καὶ κακὴν ἕξιν κτήσασθαι· πᾶσα γὰρ ἕξις ἐπίκτητος ἐδείχθη. ὅτι δὲ φύσει εἰσὶν αἱ δυνάμεις, δῆλον ἐκ τοῦ πάντας τὰς αὐτὰς ἔχειν δυνάμεις, πλὴν τῶν πεπηρωμένων. ὅτι δὲ ἕξεις οὐ φυσικαί, δῆλον ἐκ τοῦ μὴ πάντας τὰς αὐτὰς ἔχειν ἕξεις. ἄλλοις δὲ ἄλλας· τὰ γὰρ φύσει, τὰ αὐτὰ παρὰ πᾶσιν.

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ,
ΚΕΦ. ΜΒ'.

ΟΤΙ μὲν αὐτεξούσιός ἐστιν ὁ ἄνθρωπος, καὶ τίνων ἐστὶν αὐτεξούσιος, καὶ διὰ ποίαν αἰτίαν αὐτεξούσιος γέγονεν, αὐτάρκως ἐν τοῖς προλαβοῦσιν εἴρηται· ἐπεισὶ δὲ οὐ πᾶς ὁ προσήκων φονεῦ-

σαι

σαι, πάντως φονεύει· ἀλλὰ ποτὲ μὲν φονεύει, ποτὲ δὲ οὔ, τῆς προαιρέσεως παρεμποδιθείσης, ἢ μὴ δραμούσης κατὰ σποδόν· πρόνοιαν δὲ τούτων ἔφαμεν αἰτίαν εἶναι ἢ οὐχ εἱμαρμένην· ἀπολούθως τοῖς ἐφ' ἡμῖν ὄντιν ὁ περὶ τῆς προνοίας λόγος. διαιρεῖται δὲ οὗτος εἰς τρία· πρῶτον μέν, εἰ ἔστι πρόνοια· δεύτερον, τί ὄστι· τρίτον, τίνων ἐστίν. ἀλλ' Ἰουδαῖος μὲν οὐδ' ἂν μανόμενος ἀγνοήσειε, πρόνοιαν εἰδὼς τὰ κατ' Αἴγυπτον θαύματα, ἐπακούσας δὲ τῶν κατὰ τὴν ἔρημον· ἐν οἷς πλαυγεστέρα ἦλθ ὁρατῶν ἐφάνη τοῖς ἀνθρώποις ἡ πρόνοια· πολλὰ δὲ καὶ ἐν προφήταις καὶ ἐν Βαβυλῶνι καταγνόησας ἔργα τῆς προνοίας, μὴ δὲ μίαν ἀμφιβολίαν ὑπιδεχόμενα· Χριστιανοὺς δὲ καὶ ταῦτα μὲν ἅπαντα διδάσκει πρόνοιαν εἶναι· μάλιστα δὲ τὸ θειότατον καὶ δι' ὑπερβολὴν φιλανθρωπίας ἀπόρρητον ἔργον τῆς προνοίας ἡ δι' ἡμᾶς ἐνσωμάτωσις τοῦ Θεοῦ. ἐπειδὴ δὲ οὐ πρὸς τούτοις μόνοις ὁ λόγος, ἀλλὰ καὶ πρὸς Ἕλληνας, φέρε καὶ δι' ἄλλων, οἷς ἐκεῖνοι πιστεύουσιν ὑποδείξωμεν πρόνοιαν οὖσαν. ὅτι τοίνυν ἐστὶ πρόνοια διὰ τῆς αὐτῶν ἄντικα ὑποδείξει, δι' ὧν ὅτι καὶ Θεός ἐστιν, ἐδείξαμεν. ἡ γὰρ διαμονὴ τῆς ἀπάντων, καὶ μάλιστα τῆς ἐν γενέσει καὶ φθορᾷ καὶ ἡ θέσις καὶ ἡ τάξις τῆς ὄντων ἀεὶ φυλαττομένη κατὰ τὸν αὐτῶν τρόπον καὶ ἡ τῶν ἄστρων φορά, μηδὲν μηδέποτε διαλλάττουσα, καὶ ὁ κύκλος τοῦ ἐνιαυτοῦ, καὶ ἡ τῶν ὡρῶν ὑποκατάστασις

σις τῶν τε νυκτῶν καὶ τῶν ἡμερῶν ἡ κατ' ἔτος ἰσότης παρὰ μέρος ἑκατέρας αὐξανομένης τε καὶ μειωμένης οὔτε ἐλάττονι, οὔτε πλείονι μέρει, πῶς ἂν διετέλεσεν ὁμοίως διεξαγομένη, μηδενὸς προνοοῦντος; οὐμὴν ἀλλὰ καὶ τοῖς ἁμαρτήμασιν ἡ παρεπομένη τιμωρία, μᾶλλον δὲ καὶ ἡ τῶν ἁμαρτημάτων αὐτῶν ὑποκάλυψις, ὅταν μηδενὸς ὄντος τοῦ διελέγξαι δυναμένου κατά τινας περιστάσεις ἐμφανίζεται, δείκνυσι πρόνοιαν εἶναι. γέμουσι δὲ τῶν τοιούτων ἱστοριῶν, αἵ τε τῶν Ἑβραίων γραφαὶ καὶ τὰ παρ' Ἕλλησι γράμματα. τοιοῦτον γὰρ ἐρρέθη τῇ γραφῇ τὸ κατὰ Σωσάνναν πάθος. ἐν δὲ τοῖς παρ' Ἕλλησι τὸ κατὰ Ἰυκὸν τὸν ποιητήν. φονευόμενος γὰρ οὗτος ὑπό τινων, καὶ μηδένα μηδὲ σύμμαχον μήτε μάρτυρα τῆς ὑπὸ βουλῆς ἔχων θεωρήσας γεράνους, ὑμεῖς, ἔφησεν, ὦ γεράνοι τιμωρήσατέ μοι τὸν φόνον· τῆς δὲ πόλεως ζητούσης τοὺς φονεύσαντας, καὶ μὴ δυναμένης εὑρεῖν, ὑπτελουμένου θεάτρου καὶ τοῦ δήμου καθεζομένου, γέρανοι διέπτησαν· θεασάμενοι δὲ οἱ φονεῖς ἐγέλασαν· καὶ ἰδοὺ, εἶπον, αἱ τιμωροὶ τοῦ Ἰυκοῦ. τῶν δὲ πλησίον καθεζομένων τις ἀκούσας ἀπήγγειλε ταῖς ἀρχαῖς, καὶ συλληφθέντες ὡμολόγησαν τὸν φόνον. πολλῶν δὲ καὶ ἄλλων τοιούτων ἐστὶ πλῆθος ἀναγεγραμμένον τοῖς παλαιοῖς, ὅπερ εἴ τις βουληθείη συναγαγεῖν, εἰς ἄπειρον μῆκος ἐκτείνειε τὸν λόγον. εἰ δὲ μὴ πᾶσι τοῖς ἁμαρτάνουσιν ὁ αὐτὸς τρόπος τῶν ἐλέγχων

ἐπάγεται, ἀλλ' ἔνιοι καὶ διαφεύγειν δοκοῦσι, μηδεὶς ἀρνείσθω καὶ διὰ τοῦτο τὴν πρόνοιαν. οὐ γὰρ καθ' ἕνα τρόπον μόνον ποιεῖται τὴν ἐπιμέλειαν τῶν ἀνθρώπων, ἀλλὰ κατὰ πολλοὺς καὶ διαφόρους. οὐχ' ἥκιστα δὲ τὸ εἶναι πρόνοιαν δείκνυσιν ἡ τῶν σωμάτων ἐν γενέσει καὶ φθορᾷ κατασκευὴ καὶ ἀναλογία διὰ παντὸς ὁμοίως φυλαττομένη· παντὶ γὰρ μορίῳ τοῦ σώματος ἐμφαίνεται τῆς προνοίας ἡ προμύθεια. ἅτινα τοῖς φιλοπόνοις ἔξεστιν ἐκ διαφόρων συγγραμμάτων ἀναλέγεσθαι. καὶ ἡ τῶν χρωμάτων δὲ ποικιλία τῶν ἐν τοῖς ζώοις, τὸν αὐτὸν ἀεὶ κόσμον φυλάττουσα κέκραγε πρόνοιαν εἶναι, καὶ τὸ κοινῇ δὲ παρὰ πᾶσιν ἀνθρώποις ὁ μολογούμενον τὸ δεῖν ἔυχεσθαι καὶ θεραπεύειν τὸ θεῖον, ἀναθήμασί τε καὶ περιμόλοις προνοίας ἐστὶ δηλωτικὸν. ἀπρονοήτου γὰρ ὄντος τοῦ παντὸς, τίς ἂν ἢ τίνι τὶς ἔυξαιτο; καὶ ἡ σπουδὴ δὲ ἡ περὶ τὰς ἐυεργεσίας φυσικῶς ἐν τοῖς ἀδιαστρόφοις σπουδαζομένη τὴν πρόνοιαν ἐμφαίνει· τὸν γὰρ ἐκ ταύτης μισθὸν ἀπεκδεχόμενοι καὶ τοὺς μὴ δυναμένους ἀμείψασθαι, ποιεῖν ἔυ προαιρούμεθα. προνοίας δὲ ἀναιρουμένης συγκεχώρηται μὲν ἀδικία τοῖς δυναμένοις ἀδικεῖν, ἀναιρεῖται δὲ ἐλεημοσύνη καὶ Θεοῦ φόβος, συναναιρεῖται δὲ τούτοις ἀρετὴ καὶ ἐυσέβεια· εἰ γὰρ μὴ προνοεῖ Θεὸς, οὐ δὲ τιμωρεῖται, οὐ δὲ τοῖς ἔυ πράττουσιν ἔπαθλα νέμει· οὐ δὲ τῶν ἀδικουμένων τὰς βλάβας ἀπείργει. τίς ἂν οὖν

προς

προσκυνήσειε Θεὸν μηδὲν εἰς μηδὲν ἡμῖν συλλαμβανόμενον; ἀναιρεῖται δὲ καὶ προφητεία καὶ πᾶσα πρόγνωσις. ἀλλ' οὐ συμφωνεῖ ταῦτα τοῖς καθ' ἑκάστην σχεδὸν ἡμέραν ὁρωμένοις· πολλὰ μὲν γὰρ ἐν ταῖς χρείαις ἐπιφάνειαι τοῦ θείου· πολλὰ δὲ καὶ δι' ὀνείρων τοῖς κάμνουσι δίδοται βοηθήματα· πολλαί τε προγνώσεις καθ' ἑκάστην γενεὰν ἐξηνέχθησαν· πολλοὶ δὲ μιαιφονήσαντες ἢ τὶ τῶν ἀθεμίτων πράξαντες ἐκδειματοῦνται νύκτωρ τε καὶ μεθ' ἡμέρας. ἄλλως τε ἀγαθός ἐστιν ὁ Θεὸς· ἀγαθὸς δὲ ὢν ἐυεργετικὸς· εἰ δὲ εὐεργετικὸς, καὶ προνοητικὸς. τί δεῖ λέγειν τὰ τῆς κτίσεως ἔργα καὶ τὴν ἀναλογίαν αὐτῆς καὶ τὴν ἁρμονίαν καὶ τὴν θέσιν καὶ τὴν τάξιν καὶ τὴν χρείαν ἣν ἕκαστον παρέχεται τῷ παντὶ, καὶ ὡς οὐχ' οἷόν τε ἄλλως καλῶς ἔχειν παρ' ὃ νῦν ἔχει, καὶ ὡς οὔτε προσθήκην ἐπιδέχεται, οὔτε τῶν ὄντων ἐπιλείπειν τί δύναται; ἀλλὰ τέλεια πάντα καὶ καλὰ σοφῶς τε καὶ προνοητικῶς δεδημιούργηται. ἀλλ' εἰς τὸν τῆς δημιουργίας λόγον ἀναβαλώμεθα τὴν τούτων ἔκθεσιν, ἵνα μὴ πάθωμεν ὅπερ πολλοὶ τῶν περὶ προνοίας γραψάντων πεπόνθασι· τὴν γὰρ κτίσιν ἀντὶ τῆς προνοίας ἀνυμνοῦσι, ποδηγοῦσαν μὲν ἡμᾶς εἰς τὸν περὶ τῆς προνοίας λόγον, κατὰ πολὺ δὲ διαφέρουσαν. οὐ γὰρ ταυτὸ ἐστὶ πρόνοια καὶ κτίσις· κτίσεως μὲν γὰρ τὸ καλῶς ποιῆσαι τὰ γινόμενα· προνοίας δὲ τὸ καλῶς ἐπιμεληθῆναι τῶν

γενο-

γιγνομένων· οὐ συνυπάρχῃ δὲ ταῦτα πάντως ἀλλήλοις, ὡς ἔστιν ἐπὶ τῶν ἀνθρώπων τῶν καθ' ἕκαστον τέχνῃ καὶ μεθόδου ἰδεῖν. οἱ μὲν γὰρ αὐτῶν ἄχρι μόνου τοῦ ποιῆσαι καλῶς ἴσασιν, καὶ οὐδὲν ἔτι φροντίζουσιν. ὡς τέκτονές τε καὶ γραφεῖς καὶ πλάσται. οἱ δὲ μόνον ἐπιμελοῦνται καὶ φρονοοῦσιν, ὡς βουκόλοί τε καὶ ποιμένες. οὐκοῦν καὶ ἡμεῖς ἐν τῷ περὶ τῆς κτίσεως λόγῳ δέοντος ἂν ἐπιδεικνύοιμεν, ὅτι καλῶς γέγονε τὰ γιγόμενα· ἐν δὲ τῷ περὶ φρονοίας, ὅτι καὶ τῆς μελούσης ἐπιμελείας τυγχάνει μετὰ τὸ γενέσθαι. πῶς οὖν ἄνθρωπος ἐξ ἀνθρώπου, καὶ βοῦς ἐκ βοὸς ἀεὶ γιγνᾶται, καὶ ἕκαστον ἐκ τοῦ οἰκείου σπέρματος φύεται, καὶ οὐκ ἐξ ἄλλου φρονοίας ἀπούσης; εἰ γάρ λέγοι τις, ὅτι κατὰ τὴν ἐξ ἀρχῆς γένεσιν εἱρμῷ προβαίνει τὸ πρᾶγμα, τοῦτο ἂν εἴη λέγων ὅτι τῇ κτίσει συνυπάρχει πάντως ἡ φρόνοια. τὸ γὰρ εἱρμῷ προβαίνειν τὸ κτισθὲν, δηλοῖ τῇ κτίσει συγκαταβεβλῆσθαι τὴν φρόνοιαν. φρονοίας γὰρ ἡ μετὰ τὴν κτίσιν διεξαγωγὴ τῶν ὄντων· καὶ οὕτως οὐδὲν ἂν ἄλλο λέγοι ἢ τὸν αὐτὸν εἶναι ποιητὴν ἅμα καὶ φρονοητὴν τῶν ὄντων. τίς δὲ ὁρῶν τὰς μορφὰς τῶν ἀνθρώπων ἐν τοσαύταις μυριάσι διαλαττούσῃ καὶ μηδαμοῦ κατὰ πάντα συμπιπτούσας, οὐ θαυμάσῃ μὲν τὸ ἔργον, ἀναλογιζόμενος δὲ τὴν αἰτίαν εὑρήσῃ φρονοίας ἕνεκα τὴν διαφορὰν τῆς μορφῆς παρηλλαγμένῳ ἐν τοῖς καθ' ἕκαστα; σπόρει γὰρ, εἰ τὸν

εἰ τὸν αὐτὸν ἔσωζον ἀπαραλλάκτως χαρακτῆρα, πόσοι σύγχυσις τῶν πραγμάτων ἐγίνετο; πόσοι δὲ ἄγνοια καὶ σκότος κατεῖχε τὸν ἄνθρωπον οὔτε τὸν οἰκεῖον γνωρίζοντα, οὔτε τὸν ἀλλότριον, ἢ πολέμιον ἢ φαῦλον ἀπὸ τοῦ φίλου, καὶ χρησοῦ διακρίνοντα· πάντα δὲ ἦν ἀληθῶς ὁμοῦ χρήματα κατὰ Ἀναξαγόραν. τούτου γὰρ οὕτως ὄντος οὐδὲν ἐκώλυεν ἀδελφαῖς καὶ μητράσι συγγίνεσθαι, οὐ δὲ ἀρπάζειν, οὐδὲ ἄλλο τι ἀδικεῖν ἐμφανῶς, εἰ φρὸς τὸ παρὸν μόνον διέφυγεν· οὐ γὰρ ἂν ὀφθεὶς ἐγνωρίσθη μετὰ ταῦτα. οὐ δ' ἂν νόμος ἢ πολιτεία συνεστάττετο· οὐδὲ πάτρες καὶ παῖδες ἀλλήλοις ἐγίνωσκον· οὐδὲ ἄλλό τι σωίεσι τῶν κατὰ τὸν ἄνθρωπον· τυφλὸς γὰρ ἦν ἕνεκα τῶν ἀνθρώπων ὁ ἄνθρωπος, μικρὰ τοῦ βλέπειν αὐτῷ παρεχομένου· πλὴν γὰρ ἡλικίας καὶ μεγέθους οὐδὲν ἄλλο διεγίνωσκε· τοσούτων ἡμῖν ἀγαθῶν γέγονεν ἡ φρόνοια, ποικίλλουσα τὴν μορφὴν τῶν ἀνθρώπων, διὰ παντὸς καὶ παντα χῆ καὶ μηδένα χρόνον τοῦτο παραλείπουσα. ὃ καὶ μέγιστόν ἐστι τεκμήριον τοῦ τυγχάνειν προνοίας καὶ τὰ καθ' ἕκαστα εἰ μέχρι καὶ τοῦ τύπου τῆς διαπλάσεως τὸ χαρακτῆρος καὶ τῆς φωνῆς ἕκαστος γνωρίζεται, καὶ μὴ δι' ἀκριβείας τὸ τοιοῦτον φυλάττεται, ὡς τῆς μορφῆς ἀρκούσης. ἐξ ὑπερβολῆς γὰρ καὶ τοῦτο προσέθηκεν ἡμῖν ἡ φρόνοια τὴν τῶν χρωμάτων διαφορὰν, ἵνα πολυτρόπως βοηθῆται τῆς ἀνθρωπίνης φύσεως ἡ ἀσθένεια· ὅθεν

δὲ καὶ τὰ πολλὰ τῶν ζώων τῶν κατ' εἶδος ὁμοχρώμονων, οἷον κορώνη καὶ κόραξ ἔχειν πινὰς κατὰ τὴν φόσσιν διαφοράς, αἷς γνωρίζει κατὰ συζυγίαν ἄλληλα· κορῶναι οὖν καὶ κόρακες συναγελάζονται μὲν πολλοὶ πολλάκις· γνωρίζονται δὲ κατὰ συζυγίαν, ἑκάστης καὶ ἑκάστου γνωριζόντων τὸν σύζυγον· πῶς δ' ἂν ἐγίνωσκον ἀλλήλους, εἰ μή τις ἦν ἑκάστῳ χαρακτὴρ ἴδιος, ἡμῖν μὲν οὐκ εὐκρινὴς· εὐσύνοπτος δὲ φυσικῶς τοῖς ὁμοειδέσι; καὶ τὰ σύμβολα δὲ καὶ φῆμαι καὶ κληδόνες καὶ διοσημεῖαι, (φὸς ἕλλιωας γὰρ ὁ λόγος) κατὰ τὸν οἰκεῖον λόγον ὡς αὐτοὶ φασι, τῶν δηλουμένων ὑπ' αὐτῶν τὰς συμβάσης διασώζουσαι, πάντως που φρονοίας λόγῳ σημαίνουσι· καὶ τοῖς σημαινομένοις τὰς συμβάσης ἐπαληθεύουσιν.

ΤΙ ΕΣΤΙ ΠΡΟΝΟΙΑ. ΚΕΦ. ΜΓ.

ΑΛΛ' ὅτι μέν ἐστι φρόνοια, διάτε τούτων δῆλον καὶ ἐξῆς ῥηθησομένων. εἴπωμεν δὲ τί ἐστι φρόνοια· φρόνοια τοίνυν ἐστὶν ἡ τοῦ Θεοῦ εἰς τὰ ὄντα γινομένη ἐπιμέλεια. ὁρίζονται δέ τινες οὕτως αὐτήν· φρόνοια ἐστὶ βούλησις Θεοῦ, δι' ἣν πάντα τὰ ὄντα τὴν φρόσφορον διεξαγωγὴν λαμβάνει. εἰ δὲ Θεοῦ βούλησίς ἐστιν ἡ φρόνοια, πᾶσα ἀνάγκη κατὰ τὸν ὀρθὸν λόγον καὶ κάλλιστα καὶ θεοφιλέστατα καὶ ὡς ἂν μόνως καλῶς ἔχοι τὰ γινόμενα γίγνεσθαι, ὡς τὴν κρείττω τάξιν μὴ ὑπιδέχεσθαι· ἀνάγκη δὲ καὶ τὸν αὐτὸν εἶναι ποιητὴν τῶν ὄντων καὶ φρονοητήν. οὔτε γὰρ ἀκόλουθον,

θον οὔτε φρέσφον, ἄλλον μὲν ποιεῖν, ἄλλον δὲ τῶν γινομένων ἐπιμελεῖσθαι. ἐν ἀσθενείᾳ γὰρ πάντως ὁρᾶται τὸ τοιοῦτον· πολλὴ δὲ καὶ τοῖς ζώοις ἔμφασις ἐναπόκειται τῶν εἰρημένων. πᾶν γὰρ τὸ γεννῆσαν καὶ τῆς τροφῆς ἐπιμελεῖται τὸ γεννηθέντος· ὁ δὲ ἄνθρωπος καὶ τῶν ἄλλων πάντων τῶν κατὰ τὸν βίον, καθ' ὅσον διόντέ ἐστι, φρονοεῖ· τὰ δὲ μὴ φρονοοῦντα, δι' ἀσθένειαν οὐ φρονοεῖ. δέδεικται οὖν Θεὸς μὲν ὢν ὁ φρονοητὴς, φρόνοια δὲ ἡ βούλησις αὐτοῦ.

ΠΕΡΙ ΤΟΥ ΤΙΝΩΝ ΕΣΤΙ ΠΡΟΝΟΙΑ, ΚΕΦ. ΜΔ.

ΟΤΙ μὲν οὖν ἐστι φρόνοια καὶ τί ἐστιν, εἴρηται. λείπεται δὲ εἰπεῖν τίνων ἐστὶ φρόνοια, πότερον τῶν καθόλου ἢ τῶν καθ' ἕκαστα, ἢ τῶν καθόλου καὶ τῶν καθ' ἕκαστα. Πλάτων μὲν οὖν καὶ τὰ καθόλου καὶ τὰ καθ' ἕκαστα φρόνοιαν διοικεῖν βούλεται, διαιρῶν τὸν τῆς προνοίας λόγον εἰς τρία· πρῶτον μὲν εἶναι τὴν τοῦ πρώτου Θεοῦ· προνοεῖν δὲ τοῦτον προηγουμένως μὲν τῶν ἰδεῶν, ἑπεῖτα δὲ ξυμπαντὸς τοῦ καθόλου κόσμου, οἷον οὐρανοῦ καὶ ἀστέρων καὶ πάντων τῶν καθόλου, τουτέστι τῶν γενῶν οὐσίας τε καὶ ποσότητος καὶ ποιότητος, καὶ τῶν ἄλλων τῶν τοιούτων καὶ τῶν τούτοις ὑποτεταγμένων εἰδῶν· τῆς δὲ γενέσεως τῶν ἀτίμων ζώων τε καὶ φυτῶν καὶ πάντων τῶν ἐν γενέσει καὶ φθορᾷ τοὺς δευτέρους θεοὺς τοὺς τὸν οὐρανὸν περιπολοῦντας

προνοεῖν· καὶ Αριστοτέλης δὲ τὴν τούτων γένεσιν ἀνατίθησιν ἡλίῳ καὶ τῷ ζωδιακῷ κύκλῳ· τῆς δὲ διεξαγωγῆς καὶ τοῦ τέλους τῶν πρακτέων καὶ τῆς τεύξεως τῆς κατὰ τὸν βίον τῶν τε φυσικῶν καὶ τῶν ὑλικῶν τε καὶ ὀργανικῶν καλουμένων ἀγαθῶν, καὶ τῶν τούτοις ἀντικειμένων τὴν τρίτην εἶναι πρόνοιαν Πλάτων ἀποφαίνεται. προΐστασθαι δὲ ταύτης τινὰς τεταγμένους δαίμονας περὶ τὴν γῆν, φύλακας τῶν ἀνθρωπινῶν πράξεων. εἶναι δὲ καὶ τῇ δευτέρᾳ καὶ τρίτῃ προνοίᾳ τὸ εἶναι παρὰ τῆς πρώτης, ὡς δυνάμει πάντα παρὰ τοῦ πρώτου Θεοῦ διοικεῖσθαι, τοῦ τάξαντος πρώτους καὶ δευτέρους καὶ τοὺς τρίτους προνοητάς. τὸ μὲν οὖν ἀναφέρειν εἰς Θεὸν τὰ πάντα καὶ τῆς ἐκείνου βουλήσεως λέγειν διηρτῆσθαι πᾶσαν πρόνοιαν, ἄξιον ἐπαινεῖν· οὐκέτι δὲ, τὸ δευτέραν λέγειν πρόνοιαν, τοὺς τὸν οὐρανὸν περιπολοῦντας· οὐ γὰρ πρόνοια τὸ γινόμενον, ἀλλ' εἱμαρμένη καὶ ἀνάγκη. ὅπως γὰρ ἂν ἐκεῖνοι σχηματίζωνται, ἀνάγκη καὶ τὰ γινόμενα γίνεσθαι καὶ ἄλλως μὴ ἐνδέχεσθαι. τῶν δὲ κατὰ πρόνοιαν οὐδὲν ὑποπίπτειν ἀνάγκῃ, πάλαι δέδεικται· οἱ δὲ στοϊκοὶ φιλόσοφοι τὴν εἱμαρμένην καὶ τὸ ἐφ' ἡμῖν πρεσβεύοντες, οὐδὲ μίαν χώραν τῇ προνοίᾳ καταλείπουσιν· ἀλλὰ ταῖς ἀληθείαις καὶ τὸ ἐφ' ἡμῖν ἀναιροῦσιν, ὡς ἐδείχθη πρότερον. Δημόκριτος δὲ καὶ Ηράκλειτος καὶ Επίκουρος οὔτε τῶν καθόλου οὔτε τῶν καθ' ἕκαστα πρόνοιαν εἶναι βούλονται.

ἐπί-

Επίκουρος γοῦν ἔλεγε, τὸ μακάριον καὶ ἄφθαρτον οὔτε αὐτὸ πράγματα ἔχει, οὔτε ἄλλῳ παρέχει. ὥς τε οὔτε ὀργαῖς οὔτε χάρισι συνέχεται· ἐν ἀσθενείᾳ γὰρ πάντα τὰ τοιαῦτα· ὀργὴ γὰρ θεῶν ἀλλότριον· ἐπὶ γὰρ ἀβουλήτῳ γίνεται· Θεῷ δὲ οὐδὲν ἀβούλητον. οὗτοι μὴν οὖν ἀκολουθοῦσι ταῖς ἰδίαις ἀρχαῖς· ἐξ αὐτομάτου γὰρ ἡγούμενοι τὸ πᾶν τοῦτο συστῆναι, εἰκότως ἀπρονόητα φάσκουσιν εἶναι τὰ πάντα· ὧν γὰρ οὐδείς ἐστι δημιουργὸς, τούτων τίς ἂν εἴη προνοητὴς; δῆλον γὰρ ὡς αὐτομάτως ἀνάγκη φέρεσθαι τὰ τὴν ἀρχὴν αὐτομάτως γενόμενα. δεῖ τοίνυν πρὸς τὴν πρώτην αὐτοῖς ἐνστῆναι δόξαν. ταύτης γὰρ ἀναιρουμένης, ἀρκέσει τὰ ῥηθέντα εἰς ἀπόδειξιν τοῦ πρόνοιαν εἶναι· φυλάξαντες οὖν τοῖς οἰκείοις καιροῖς τὸν τούτων ἔλεγχον, ἔλθωμεν ἐπὶ τὴν Αριστοτέλους δόξαν, καὶ τῶν ἄλλων τῶν ἀπρονόητα λεγόντων τὰ καθ' ἕκαστα· καὶ γὰρ Αριστοτέλης ὑπὸ τῆς φύσεως μόνης διοικεῖσθαι βούλεται τὰ κατὰ μέρος, ὡς ἐν τῷ ἕκτῳ τῶν νικομαχείων ἠθικῶν ὑπηνίξατο· ταύτην γὰρ θείαν οὖσαν καὶ τοῖς γενητοῖς πᾶσιν ἐνυπάρχουσαν, ἑκάστῳ φυσικῶς ὑποτίθεσθαι τὴν τῶν συμφερόντων αἵρεσιν καὶ τὴν τῶν βλαπτόντων φυγὴν. ἕκαστον γὰρ, ὡς εἴρηται, τῶν ζώων καὶ τὸν κατάλληλον ἑαυτῷ τροφὴν ἐκλέγεται, καὶ τὸ συμφέρον μεταδιώκει· καὶ τὰς ἰατρείας τῶν παθῶν φυσικῶς ἐπίσταται. Ευριπίδης δὲ καὶ Μένανδρος ἐν

ἐνίοις

ἐνίοις τὸν νοῦν τὸν ἐν ἑκάστῳ φασὶ προνοεῖν ἑκάστου, Θεὸν δὲ μηδένα. ἀλλ' ὁ μὲν νοῦς τῶν ἐφ' ἡμῖν ἐστι μόνων· ἢ γὰρ τῶν πρακτέων καὶ τῶν τεχνῶν, ἢ τῆς θεωρίας. ἡ δὲ πρόνοια τῶν οὐκ ἐφ' ἡμῖν, ὡς τοῦ πλουτεῖν καὶ μὴ, καὶ ὑγιαίνειν καὶ μὴ· ὡς οὐδὲν ποιεῖν ὁ νοῦς δύναται, ἀλλ' οὐδὲ ἡ φύσις, ὡς Αριστοτέλης δοκεῖ. ἔυδηλα γὰρ καὶ τὰ τῆς φύσεως ἔργα· τί δὲ πρὸς τὸν νοῦν ἢ τὴν φύσιν τὸ ποτὲ τιμωρεῖσθαι τὸν φονέα, ποτὲ δὲ διαφεύγειν; εἰ μή τις λέγοι τὸ μὲν τοῦ νοῦ καὶ τῆς φύσεως προνοίας εἶναι· τὸ δὲ δεύτερον, εἱμαρμένης. εἰ δὲ τὰ κατὰ νοῦν καὶ φύσιν προνοίας ἐστὶ· τὰ δὲ ἐπακολουθοῦντα, τῆς εἱμαρμένης, ἀνῄρηται τὸ ἐφ' ἡμῖν. ἀλλ' οὐχ' οὕτως ἔχει. τὰ μὲν γὰρ τοῦ νοῦ τοῦ τε πρακτικοῦ καὶ τοῦ θεωρητικοῦ ἐφ' ἡμῖν ἐδείχθη. οὐ πάντα δὲ τὰ κατὰ πρόνοιαν, τῆς φύσεως, εἰ καὶ τὰ τῆς φύσεως κατὰ πρόνοιαν γίνεται· πολλὰ γὰρ τῶν κατὰ πρόνοιαν οὐκ ἔστι φύσεως ἔργα, ὡς ἐπὶ τοῦ φονέως ἐδείχθη· ἔστι γὰρ μέρος προνοίας ἡ φύσις, οὐκ αὐτοπρόνοια· οὗτοι μὲν οὖν τῇ φύσει καὶ τῷ νῷ τὴν πρόνοιαν ἐπιγράφουσι τῶν καθ' ἕκαστα. οἱ δ' ἄλλοι τῷ Θεῷ μέλειν φασὶ τῆς τῶν ὄντων διαμονῆς, ὥς τε μηδὲν τῶν γενομένων ἐπιλεῖψαι, καὶ τούτου μόνου πρόνοιαν ποιεῖσθαι· τὰ δὲ καθ' ἕκαστα φέρεσθαι ὡς ἔτυχε· καὶ διὰ τοῦτο πολλὰς μὲν ἀδικίας, πολλὰς δὲ μιαιφονίας καὶ συλλήβδην εἰπεῖν πάσαν κακίαν ἐμπολιτεύεσθαι τοῖς ἀνθρώποις· καὶ τούτων

τούτων ὡς ἔτυχε τινὰς μὲν διαφυγεῖν τὴν δίκην, τινὰς δὲ καὶ κολάζεσθαι, οὔτε τῶν κατὰ τὸν ὀρθὸν λόγον, οὔτε τῶν κατὰ νόμον πάντως ἀποβαινόντων. ἔνθα δὲ μή τε νόμος, μή τε λόγος κρατεῖ, πῶς ἄν τις φαίη Θεὸν εἶναι τὸν ἐπιμελούμενον; καὶ συμβαίνει τοὺς χρηστοὺς ὡς ἐπὶ τὸ πλεῖστον ἀδικεῖσθαι καὶ ταπεινοῦσθαι καὶ μυρίοις κακοῖς περιβάλλεσθαι· τοὺς δὲ πονηροὺς καὶ βιαίους αὔξεσθαι δυναστείᾳ καὶ πλούτῳ καὶ ἀρχαῖς καὶ τοῖς ἄλλοις τοῖς κατὰ τὸν βίον ἀγαθοῖς. ἐμοὶ δὲ δοκοῦσιν οἱ ταῦτα λέγοντες πολλὰ μὲν καὶ ἄλλα τῶν κατὰ τὴν πρόνοιαν ἀγνοεῖν θεωρημάτων, μάλιστα δὲ τῆς ψυχῆς τὸ ἀθάνατον. θνητὴν γὰρ αὐτὴν ὑπολαμβάνοντες εἶναι τῇ ζωῇ ταύτῃ τὰ κατὰ τὸν ἄνθρωπον περιγράφουσιν· ἔπειτα διεστραμμένας ἔχουσι τὰς περὶ τῶν ἀγαθῶν κρίσεις. οἴονται γὰρ τοὺς πλοῦτον περιβεβλημένους καὶ κομῶντας ἀξιώμασι, καὶ τοῖς ἄλλοις ὑλικοῖς ἀγαθοῖς ἐναβρυνομένους εὐδαίμονας εἶναι καὶ μακαρίους. τὰ δὲ τῆς ψυχῆς ἀγαθὰ παρ' οὐδὲν τίθεται πολλῷ μέτρῳ τῶν σωματικῶν καὶ τῶν ἐκτὸς ὑπερέχοντα. κρείττονα γὰρ τὰ τῶν κρειττόνων ἀγαθὰ. τοσούτῳ τοίνυν ἀρεταὶ πλούτου τε καὶ ὑγείας καὶ τῶν ἄλλων ὑπερφέρουσιν, ὅσῳ ψυχὴ σώματος. τοι γάρτοι καὶ μόναι καὶ σὺν τοῖς ἄλλοις αἱ ἀρεταὶ μακάριον ποιοῦσι τὸν ἄνθρωπον· μετὰ μὲν τῶν ἄλλων κατὰ πλάτος, μόναι δὲ καὶ καθ' ἑαυτὰς κατὰ περιγραφὴν.

φὴν νοεῖται, ὡς δίπηχυ· τὰ δὲ κατὰ πλάτος, ὡς σωρὸς. σωροῦ μὲν γὰρ κἂν δύο μεδίμνους ἀφέλῃς, τὸ λειπόμενον μένει σωρός· καὶ τῆς κατὰ πλάτος δὲ μακαριότητος ἂν ἀφέλῃς τάτε τῶ σώματος καὶ τὰ τῆδε ἐντὸς ἀγαθὰ, καταλίπῃς δὲ μόνας τὰς ἀρετὰς, μένει καὶ οὕτως τὸ μακάριον· ἡ δὲ ἀρετὴ καὶ καθ' ἑαυτὴν αὐτάρκης ἐστὶ πρὸς εὐδαιμονίαν. πᾶς οὖν ἀγαθὸς μακάριος, κἂν πάντα συλλήβδην ἔχῃ τὰ λεγόμενα τῆς τύχης ἀγαθὰ. ἅπερ ἀγνοοῦντες οἱ πολλοὶ μόνους μακαρίους εἶναι νομίζουσι τοὺς εὐσωματοῦντας τε καὶ πλουτοῦντας. διὸ μέμφονται τὴν πρόνοιαν τὴν οὐ μόνον ἐκ τῶν φαινομένων διοικοῦσαν τὰ καθ' ἡμᾶς, ἀλλὰ καὶ κατὰ τὴν οἰκείαν πρόγνωσιν. εἰδὼς γὰρ ὁ Θεὸς, ὅτι τῇ νῦν χρησῷ καὶ ἀγαθῷ συμφέρει πένεσθαι· καὶ ὅτι διαφθείρει τὴν γνώμην αὐτῇ πλοῦτος ἐπεισελθών, ἐν τῇ πενίᾳ φυλάττει συμφερόντως αὐτὸν· εἰδὼς δὲ πολλάκις τὸν πλούσιον χαλεπώτερον ἐσόμενον, εἰ πανίσῃ χρημάτων (λησείαις γὰρ ἐπιχειρήσῃ ἢ μαιφονίαις, ἢ τισὶν ἄλλοις μείζοσι κακοῖς) ἐᾷ τὸν πλοῦτον καρποῦσθαι. ὐκ οὖν πενία πολλάκις ἡμῖν ἐλυσιτέλησε καὶ τέκνα θάψαι καὶ φυγεῖν οἰκέτας· πικροτέρα γὰρ τῆς ἀπωλείας αὐτῶν ἐγένετο ἂν ἡ σωτηρία· φαύλων μὲν τῆδε τέκνων, λησῶν δὲ τῆδε οἰκετῶν γινομένων. ἡμεῖς μὲν γὰρ οὐδὲν τῆδε ἐσομένων εἰδότες πρὸς τὰ παρόντα δὲ μόνον βλέποντες, ὐκ ὀρθῶς τὰ συμβαίνοντα

βαίνοντα κρίνομεν· τῷ δὲ Θεῷ καὶ τὰ μέλλοντα ὡς παρόντα ἐστὶν. ἀλλὰ ταῦτα μὲν πρὸς τοὺς καταγινώσκοντας εἴρηται. πρὸς δὲ καὶ τὸ τῆς γραφῆς ἁρμόσαν ἂν εἰπεῖν, μὴ ὁ πηλὸς ἐρεῖ τῷ κεραμεῖ; καὶ τὰ ἑξῆς. πῶς γὰρ οὐ φευκτὸς ἐστὶν ἄνθρωπος ἀντινομοθετῶν τῷ Θεῷ, καὶ ἀντιπαραπελευόμενος τῆς τῆς προνοίας ἔργοις, ὁ μὴ δὲ ταῖς ἀνθρωπιναῖς νομοθεσίαις ἀντιλέγειν τολμῶν; παραλειπόντες οὖν τὰ τοιαῦτα πλημμελήματα, μᾶλλον δὲ ἀσεβήματα, δείξωμεν ὡς οὐ καλὸν αὐτοῖς ἀπρονόητα λέγειν τὰ καθ' ἕκαστα, τῶν καθόλου καὶ ὑψηλῶν προνοίας τυγχανόντων· τρεῖς γὰρ ταύτας αἰτίας μόνας ἄντικρυς φαίη, τοῦ μὴ γίνεσθαι πρόνοιαν τῆδε καθ' ἕκαστα· ἢ γὰρ ἀγνοεῖν τὸν Θεὸν, ὅτι καλὸν καὶ τούτων ἐπιμελεῖσθαι, ἢ μὴ βούλεσθαι, ἢ μὴ δύνασθαι. ἀλλ' ἄγνοια μὲν καὶ ἀμαθία παντάπασιν ἀλλοτριώταται τῆς μακαρίας οὐσίας· αὐτὸ γὰρ γνῶσις ἐστὶ καὶ σοφία καὶ ἐπιστήμη· πῶς δὲ ἄνθρωπος ἓν φρονῶν ἀγνοήσειεν, ὡς τῶν κατὰ μέρος πάντων διαφθειρομένων, καὶ τὰ καθόλου διαφθαρήσεται; ἐν γὰρ τῶν κατὰ μέρος πάντων τὰ καθόλου σώζεται. ἐξισάζει γοῦν τὰ εἴδη πᾶσιν ὁμοίως τοῖς κατὰ μέρος, καὶ ἀντιφθείρει, καὶ συνδιαφθείρεται καὶ συνδιασώζεται. οὐδὲν δὲ κωλύει πάντα τὰ ἄτομα ἀπολέσθαι, μηδὲ μιᾶς ἀνωθεν κηδεμονίας τυγχάνοντα. τούτων οὖν ἀπολλυμένων καὶ τὰ καθόλου διαφθαρήσεται. εἰ δὲ τοῦτο προνοεῖν

νοεῖν μόνον φήσουσιν αὐτῶν τοῦ μὴ πάντα τὰ κατὰ μέρος ἀπολέσθαι, ἵνα σώζηται τὰ εἴδη λανθανούσης ἑαυτοὺς λέγοντες εἶναι τινὰ καὶ τῶν καθ' ἕκαστα πρόνοιαν. τούτων γὰρ προνοῶν, ὡς αὐτοὶ λέγουσι, διαφυλάττει τὰ γένη καὶ τὰ εἴδη. ἄλλοι φασὶν ὡς οὐκ ἀγνοεῖ μὲν, οὐ βούλεται δὲ προνοεῖν. ἀλλὰ τὸ μὴ βούλεσθαι, διὰ δύο γίνεται προφάσεις, ἢ διὰ ῥαθυμίαν ἢ διὰ τὸ ἀπρεπὲς. καὶ τίς ἂν μαινόμενος ῥαθυμίας αἰτίαν ἐπάγοι Θεῷ; πάλιν γὰρ ὑπὸ δύο τούτων ῥαθυμία τίκτεται, ἡδονῆς καὶ δειλίας· ἢ γὰρ ὑφ' ἡδονῆς τινὸς περιελκόμενοι ῥαθυμοῦμεν, ἢ διὰ φόβον ἀφιστάμεθα. οὐδέτερον δὲ τούτων θεμιτὸν διανοηθῆναι περὶ Θεοῦ. εἰ δὲ ῥαθυμίαν ἐπάγειν παραιτοῖντο, λέγοιεν δὴ μὴ πρέπειν Θεῷ· ἀνάξιον γὰρ εἶναι τῆς τοιαύτης μακαριότητος τοῖς εὐτελέσι καὶ μικροῖς συγκαταβαίνειν, καὶ οἱονεὶ βεβηλοῦσθαι ταῖς ὑλικαῖς τε καὶ προαιρετικαῖς ἀτοπίαις, καὶ διὰ τοῦτο μὴ βούλεσθαι, ἀγνοοῦσι δύο πάθη τὰ χείριστα τῷ Θεῷ περιάπτοντες ὑπεροψίαν καὶ μολυσμὸν. ἢ γὰρ δι' ὑπεροψίαν ὁ δημιουργὸς ὑπερορᾶ τῆς ἀρχῆς καὶ διοικήσεως τῶν κατὰ μέρος, ὅπερ ἀτοπώτατον εἰπεῖν, ἢ τὸν μολυσμὸν ἐκκλίνων ὡς αὐτοὶ φασὶν. εἰ δὲ τῶν ἡλιακῶν ἀκτίνων φύσιν ἐχουσῶν ἕλκειν πᾶν τὸ ὑγρὸν οὔ φασι καταμολύνεσθαι τὸν ἥλιον, οὐ δὲ τὰς ἀκτίνας αὐτοῦ, ὅταν τοῖς βορβόροις ἐλλάμπωσιν, ἀλλὰ μένειν ἀχράντους καὶ καθαρὰς, πῶς τὸν Θεὸν ἡγοῦν-

ἡγοῦνται συμβεβηλοῦσθαι τοῖς τῇ δὲ πρατταμένοις; οὐκ ἔστιν ἀνθρώπων φύσιν εἰδότων Θεοῦ ταῦτα τὰ δόγματα· ἀνέπαφον γὰρ καὶ ἀδιάφθορον καὶ ἀμίαντον καὶ πάσης ἀλλοιώσεως κρεῖττον τὸ θεῖον καθέστηκεν. ὁ δὲ μολυσμὸς καὶ πάντα τὰ τοιαῦτα τροπῆς ἐστιν ἔργα· πῶς δὲ οὐκ ἀτοπώτατον τεχνίτην οἵας δή ποτε τέχνης καὶ μάλιστα ἰατρὸν ἐπιμελούμενον τῶν καθόλου μηδὲν τῶν κατὰ μέρος, μηδὲ τὸ σμικρότατον ἐᾶν ἀτέχναστον καὶ ἀνεπιμέλητον, εἰδότα ὡς εἰς τὸ πᾶν συντελεῖ μέρος; τὸν δὲ δημιουργὸν Θεὸν καὶ τῶν τεχνιτῶν ἀποφαίνειν ἀμαθέστατον; ἀλλ' ἄρα βούλεται μὲν, οὐ δύναται δὲ. καὶ πῶς οὐκ ἄντικρυς ἀπεμφαίνον ἀσθενῆ λέγων τὸν Θεὸν, καὶ ἀδύνατον εὖ ποιεῖν; ἄλλως τε κατὰ δύο τρόπους φαίη τὶς ἂν τὸν Θεὸν μὴ δύνασθαι προνοεῖν τῶν ἀτόμων ἢ τῷ αὐτὸν μὴ πεφυκέναι, ἢ τῷ τὰ κατὰ μέρος ἀνεπίδεκτα προνοίας εἶναι· ἀλλ' ὅτι μὲν αὐτὸς πέφυκε προνοεῖν, καὶ αὐτοὶ συνομολογοῦσι, δι' ὧν φασιν αὐτὸν τῶν καθόλου προνοεῖν· ἄλλως τε τὰ μὲν καταδεέστερα φθάνειν εἰς τὰ ὑπερκείμενα οὐχ οἷά τε ἐστι. τῶν δὲ κρειττόνων ἡ δύναμις, ἄχρι καὶ τῶν τελευταίων καὶ τῶν ἀναισθήτων σώζουσα κάτεισι. πάντα γὰρ ἤρτηται τοῦ θείου θελήματος· καὶ ἐντεῦθεν ἀρύεται τὴν διαμονὴν καὶ σωτηρίαν. ὅτι δὲ καὶ ἡ τῶν ἀτόμων καὶ πεπληθυσμένων ὑπόστασις προνοίας ἐστὶ δεκτικὴ, δῆλον ἐκ τῶν ζώων τῶν ἀρχαῖς τισι καὶ ἡγεμον'

μονίαις διοικουμένων. ὧν συναγελαζομένων ὑπό
πων ἡγεμόσι τέτακται, οἷς ἀκολουθεῖ πειθόμενα.
ὡς ἐπὶ τῆς μελισσῶν ἢ μυρμήκων ἢ ἄλλων πλεί-
στων· μάλιστα δ' ἂν τις τοῦτο κατανοήσειεν εἰς τὴν τῆς
ἀνθρώπων πολιτείαν ἐμβλέψας. φαίνεται γὰρ τὰς
τῆς νομοθετῶν ἢ τὰς τῆς ἀρχόντων ὑπιδεχομένη
διοικήσεις ἢ ὑπιμελείας· ἡ δὲ τούτων ἔκπτωσις, πῶς
ἂν εἴη τῆς τοῦ δημιουργοῦ προνοίας ἀνεπίδεκτος;
τεκμήριον δὲ οὐ μικρὸν τοῦ καὶ τὰ καθ' ἕκαστα προ-
νοίας τυγχάνειν, τὸ φυσικῶς ἐγκατασπάρθαι τοῖς
ἀνθρώποις τὴν γνῶσιν αὐτῆς. ὑπ' ἀνάγκης γὰρ συ-
χνοὶ θέντες εὐθὺς ἐπὶ τὸ θεῖον καὶ τὰς εὐχὰς κατα-
φεύγομεν, ὡς ἂν τῆς φύσεως ἀγούσης ἡμᾶς ἀδι-
δάκτως ἐπὶ τὴν τοῦ Θεοῦ βοήθειαν. οὐκ ἂν δὲ ἡμᾶς
ἀδιδάκτως ἦγεν ἡ φύσις ἐπὶ τὸ μὴ φύσιν ἔχον
γίνεσθαι· καὶ γὰρ ἐν ταῖς δεξαίφνης ταραχαῖς καὶ
φόβοις ἀπροαιρέτως πρίν τι καὶ σκεψάσθαι, τὸν Θεὸν
ὑπιδυόμεθα. πᾶν δὲ τὶ ὃ τῷ οὖν φυσικῶς ἐπόμε-
νον, ἰσχυρὰν ἔχει τὴν ἀποδειξιν καὶ οὐδεμίαν
ἀντιλογίαν ὑπιδεχόμενον· πόθεν οὖν προήχθη-
σαν ἐπὶ τοῦτον τὸν λόγον οἱ ταῦτα δοξάζοντες;
πρῶτον μὲν, τῷ νομίζειν σωζεσθαι τῷ σώ-
ματι τὴν ψυχήν· δεύτερον δὲ, τῷ μὴ δύνασθαι τὸν
λόγον ἐξευρεῖν τῆς καὶ μέρος προνοίας· ἀλλ' ὅτι
μὲν οὐκ ἔστιν ἡ ψυχὴ θνητὴ, οὐ δὲ μέχρι τοῦ βίου
τούτου τὰ κατὰ τὸν ἄνθρωπον ἵσταται, εἴτε παρὰ
τοῖς σοφωτάτοις τῶν ἑλλήνων μετενσωματώσεις
δηλοῦσι,

δηλοῦσι, καὶ οἱ λεγόμενοι τόποι ταῖς ψυχαῖς ἀπο-
κεκληρῶσθαι πρὸς τὸν ἑκάστης βίον, ἢ αἱ πωρίαι
τῆς ψυχῆς ἃς πωροῦνται καθ' ἑαυτὰς· ταῦτα
δὲ εἰ καὶ διαπίπτει κατά τι ἕτερον, ἀλλὰ τὸ τὴν
ψυχὴν εἶναι μετὰ τὴν ζωὴν ταύτην ἢ δίκας ὑπέ-
χειν τῆς πλημμελημάτων συνομολογεῖ. εἰ δὲ ἀ-
κατάληπτος ἐστὶν ἡμῖν τῆς καὶ μέρος προνοίας
ὁ λόγος, ὥσπερ οὖν καὶ ἐστὶ κατὰ τὸ· ὡς ἀνεξερέννη-
τα τὰ κρίματά σου καὶ ἀνεξιχνίαστοι αἱ ὁδοί σου,
ἀλλ' οὐ διὰ τοῦτο δεῖ λέγειν ὡς οὐκ ἔστι πρόνοια. οὐ
δὲ δὴ ἐπειδὴ τὸ μέτρον τῆς θαλάσσης ἀγνοοῦμεν,
ἢ τὸν ἀριθμὸν τῆς ψάμμου, φαίη τις ἂν μήτε θά-
λασσαν, μήτε ψάμμον εἶναι. ὅπως δὲ εἴποιεν ἂν μή
τε ἄνθρωπον μή τε ἄλλό τι ζῷον εἶναι· ἐπειδὴ τὸν
ἀριθμὸν τῆς τε ἀνθρώπων, καὶ τῆς ἄλλων ζώων
ἀγνοοῦσι. τὰ δὲ ἄτομα, ἄπειρα ἡμῖν· τὰ δὲ ἄ-
πειρα ἡμῖν, ἄγνωστα ἡμῖν, καὶ τὰ μὲν καθόλου
πολλάκις λόγῳ γίνεται περιληπτὰ, τὰ δὲ καὶ μέ-
ρος ἀδύνατον. ὕσης δὲ καθ' ἕκαστον ἄνθρωπον
διττῆς διαφορᾶς, τῆς τε πρὸς ἕτερον ἄνθρωπον ἢ
τῆς πρὸς ἑαυτὸν. πολλὴ δὲ καὶ ἡ πρὸς ἑαυτὸν ἑκά-
στου καθ' ἑκάστην ἡμέραν ἐναλλαγὴ καὶ διαφορὰ
ἔντε τοῖς βίοις καὶ τοῖς ὑπιπτεύμασι καὶ χρείαις ἢ
ὑπιθυμίαις καὶ τοῖς ὑπισυμβαίνουσιν· ἀγχίτροφον
δὲ τοῦτο τὸ ζῷον· ταῖς χρείαις ἢ τοῖς καιροῖς ὑφέως
συμμεταβαλλόμενον. ἀνάγκη καὶ τὴν ἁρμόζου-
σαν ἑκάστῳ πρόνοιαν διάφορον τε καὶ ποικίλην καὶ

πολυσχεδῆ καὶ σύνδρομον τῇ τῶν πεπληθυσμένων ἀκαταληψίᾳ συνεκτείνεσθαι. εἰ δὲ πρόσφορον ἑκάστῳ δεῖ καθ' ἕκαστον πρᾶγμα καὶ οἰκείαν ὑπάρχειν αὐτὴν· ἄπειρος δὲ τῶν κατὰ μέρος ἡ διαφορὰ, ἄπειρος ἅμα καὶ τῆς ἁρμοζούσης αὐτοῦ προνοίας ὁ λόγος· εἰ δὲ ἄπειρος, καὶ ἄγνωστος ἡμῖν· οὐ δεῖ τοίνυν τὴν οἰκείαν ἄγνοιαν ἀναίρεσιν ποιεῖσθαι τῆς τῶν ὄντων κηδεμονίας. ἃ γὰρ σὺ νομίζεις μὴ καλῶς, ταῦτα κατὰ λόγον μὲν τῷ δημιουργῷ ἔγνωσται· σὺ δὲ ἀγνοεῖς τὰς αἰτίας, οὐχὶ κατὰ λόγον φὴς γίνεσθαι. ὅπερ γὰρ ἐπὶ τῶν ἄλλων τῶν ἀγνώστων πάσχομεν, τοῦτο καὶ ἐπὶ τῶν ἔργων τῆς προνοίας. ἐξ εἰκασίας τινὸς καὶ ταύτης ἀμυδρᾶς, συννοοῦμεν τὰ κατ' αὐτὴν, εἴδωλα τινὰ, καὶ σκιὰς τῶν ἔργων αὐτῆς ἐκ τῶν γινομένων κατὰ στοχασμὸν λαμβάνοντες. φαμὲν γοῦν τινὰ γίνεσθαι κατὰ συγχώρησιν τοῦ Θεοῦ· τῆς δὲ συγχωρήσεως εἴδη πολλὰ, συγχωρεῖ γὰρ πολλάκις καὶ τὸν δίκαιον περιπεσεῖν συμφοραῖς, ἵνα τὴν ἐν αὐτῷ λανθάνουσαν ἀρετὴν ἀναδείξηται ἄλλοις, ὡς ἐπὶ τοῦ Ιὼβ. ἄλλο τε συγχωρεῖ τῶν ἀτόπων τί πραχθῆναι, ἵνα διὰ τῆς πράξεως τῆς δοκούσης ἀτόπου μέγα τι καὶ θαυμαστὸν κατορθώσῃ. ὡς διὰ τοῦ σταυροῦ τὴν σωτηρίαν τῶν ἀνθρώπων. κατ' ἄλλον τρόπον συγχωρεῖ τὸν ὅσιον πάσχειν κακῶς, ἵνα μὴ ἐκ τοῦ ὀρθοῦ συνειδότος καὶ τῆς δοθείσης αὐτῷ δυνάμεως εἰς ἀλαζονείαν ἐκπέσῃ, ὡς ἐπὶ τοῦ Παύλου. ἐγκατα-

λείπε-

λείπεταί τις πρὸς καιρὸν εἰς διόρθωσιν ἄλλου· ἵνα τὸ κατ' αὐτὸν σκοποῦντες οἱ ἄλλοι παιδεύωνται, ὡς ἐπὶ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου· φυσικῶς γὰρ ὁρῶντες τινὰς πάσχοντας συστελλόμεθα, ὡς εἴρηται καλῶς τῷ Μενάνδρῳ τὸ,

Φοβούμενοι τὸ θεῖον ἐπὶ τοῦ σου πάθους.

ἐγκαταλείπεταί τις καὶ εἰς ἄλλου δόξαν οὐ δι' οἰκείας ἢ γονέων ἁμαρτίας, ὡς ὁ ἐκ γενετῆς τυφλὸς, εἰς δόξαν τοῦ υἱοῦ τοῦ ἀνθρώπου· πάλιν συγχωρεῖταί τις παθεῖν εἰς ἄλλον ζῆλον· ἵνα τῆς δόξης τοῦ παθεῖν μεγαλυνθείσης ἄοκνον τὸ πάθος τοῖς ἄλλοις γένηται ἐλπίδι τῆς μελλούσης δόξης καὶ ἐπιθυμίᾳ τῶν προσδοκωμένων ἀγαθῶν, ὡς ἐπὶ τῶν μαρτύρων καὶ τῶν ἑαυτοὺς ἐπιδεδωκότων ὑπὲρ παρτίδος ἢ γένους ἢ δεσποτῶν. εἰ δέ τῳ δοκοίη παράλογον εἶναι, τὸ εἰς ἄλλου διόρθωσιν πάσχειν κακῶς, γινωσκέτω, ὡς οὗτος ὁ βίος ἀγών ἐστι καὶ στάδιον ἀρετῆς. ὅσῳ τοίνυν μείζους οἱ πόνοι, τοσούτῳ μείζους οἱ στέφανοι· καὶ γὰρ τὸ μέτρον τῆς ὑπομονῆς ἡ τῶν ἄθλων ἀντίδοσις. διὰ τοῦτο Παῦλος ἐν μυρίαις συνεχωρήθη γενέσθαι θλίψεσιν, ἵνα μείξονα καὶ τέλειον ἀπολάβῃ τῆς νίκης τὸν στέφανον, πάντα οὖν καλῶς καὶ δεόντως γίνεται τῆς προνοίας τὰ ἔργα. ὅτι δὲ καλῶς καὶ δεόντως καὶ ὡς μόνως ἐπιδέχεται, διοικεῖ Θεὸς τὰ πάντα, δύο τούτοις τοῖς σκοποῖς τις χρώμενος τοῖς παρὰ πᾶσιν ὁμολογουμένοις, ὀρθότατα σκοπήσειεν. ἀγαθός ἐστι καὶ μόνος

 σοφὸς.

σοφὸς. οὐκοῦν διὰ μὲν τὸ ἀγαθὸς εἶναι προνοητὴς εἰκότως ἐστὶ· διὰ δὲ τὸ σοφὸς εἶναι, σοφῶς καὶ ἄριστα τῶν ὄντων ἐπιμελεῖται· εἰ μὲν γὰρ οὐ προνοεῖ, οὐκ ἀγαθὸς· εἰ δὲ μὴ καλῶς, οὐ σοφός. δεῖ τοίνυν τούτοις προσέχοντα τοῖς σκοποῖς, μηδενὸς καταγινώσκειν τῶν τῆς προνοίας ἔργων, μὴ δὲ βλασφημεῖν ἀνεξετάστως· καλῶς δὲ πάντα ἀποδέχεσθαι; πάντα θαυμάζειν, πάντα πεπεῖσθαι καλῶς καὶ δεόντως γίνεσθαι, κἂν φαίνηται τοῖς πολλοῖς ἄδικα· ἵνα μὴ πρὸς τῇ βλασφημίᾳ πολὺν καὶ τῆς ἀμαθίας ἑαυτῶν καταχέωμεν ψόγον. ὅταν δὲ λέγωμεν πάντα καλῶς γίνεσθαι, δῆλον ὡς οὐ περὶ τῆς κακίας τῶν ἀνθρώπων, οὐδὲ τῶν ἐφ' ἡμῖν ἔργων καὶ παρ' ἡμῶν γινομένων τὸν λόγον ποιούμεθα· ἀλλὰ περὶ τῶν τῆς προνοίας τῶν οὐκ ἐφ' ἡμῖν ὄντων. πῶς οὖν ἄνδρες ὅσιοι πικροῖς περιπίπτουσι θανάτοις καὶ σφαγαῖς ἀναιτίαις. εἰ μὲν γὰρ ἀδίκως, διὰ τί μὴ ἐκώλυσεν ἡ δικαία πρόνοια τὸν φόνον; εἰ δὲ δικαίως, ἀναίτιοι πάντως οἱ φονεύσαντες. πρὸς αὐτοὺς ἐροῦμεν, ὅτι καὶ ὁ φονεύσας ἀδίκως φονεύει· καὶ ὁ φονευόμενος ἢ δικαίως φονεύεται ἢ συμφερόντως· δικαίως μὲν ἐσθ' ὅτε διὰ πράξεις ἀτόπους, ἡμῖν δὲ ἀδήλους· συμφερόντως δὲ, προκαταλαμβανούσης τῆς προνοίας, τὰς μελλούσας ἔσεσθαι παρ' αὐτοῦ κακουργίας, καὶ ὅτι καλὸν αὐτῷ μέχρι τούτου στῆναι τὴν ζωὴν, ὡς Σωκράτει καὶ τοῖς ἁγίοις. ὁ δὲ φονεύσας, ἀδίκως ἐφόνευσεν.

νευσεν. οὐ γὰρ διὰ τοῦτο οὐδὲ ἐξὸν αὐτῷ, ἀλλὰ διὰ κέρδος καὶ λῃστείαν ἑκουσίως· ἐφ' ἡμῖν γὰρ ἡ πράξις. τὸ δὲ πάθος οὐκ ἐφ' ἡμῖν, οἷον τὸ φονευθῆναι· θάνατος δὲ οὐδεὶς κακὸς, εἰ μὴ ὁ δι' ἁμαρτίαν· ὡς δῆλον ἐκ τοῦ θανάτου τῶν ὁσίων ἀνδρῶν. ὁ δὲ ἁμαρτωλὸς κἂν ἐν τῷ σκίμποδι, κἂν αἰφνίδιον ἀπόνως τελευτήσῃ, κακῶς ἀπέθανε, κακὸν ἐντάφιον ἐπαγόμενος τὴν ἁμαρτίαν. ὁ μέντοι φονεύσας, κακῶς ἐφόνευσεν. ἐπὶ μὲν γὰρ τῶν δικαίως φονευομένων, εἰς τὴν τῶν δημίων ἑαυτὸν κατέταξε μοίραν· ἐπὶ δὲ τῶν συμφερόντως, εἰς τὴν τῶν μιαιφόνων καὶ ἐναγῶν. τὰ αὐτὰ καὶ ἐπὶ τῶν τοὺς πολεμίους φονευόντων καὶ αἰχμαλωτιζόντων, καὶ πᾶσαν κακίαν ἐργαζομένων καὶ τῶν αἰχμαλώτων. τὰ αὐτὰ καὶ ἐπὶ τῶν πλεονεκτούντων καὶ ἁρπαζόντων χρήματα· καὶ γὰρ τοῖς ἀφαιρουμένοις ὡς εἰκὸς συμφέρει μὴ κεκτῆσθαι· καὶ οἱ πλεονεκτήσαντες ἄδικοι· διὰ γὰρ πλεονεξίαν, οὐχὶ διὰ τὸ συμφέρειν ἐκείνοις ἀφείλοντο.

ΤΕΛΟΣ.

ERRATA. Pagina 17. versu 20. lege, οἶνος. 19. 18. εἷς γὰρ. 26. 20. καὶ τὰ μελλ. 30. 1. οὐσίας. 31. 2. τρέφεται, πᾶν. 32. 8. ἱστόρηται. 37. 18. κράσιν. 38. 3. τοῦ. 39. 5. ἄμορφον. 42. 4. ἀλλ' ἡ. 5. μέθεξιν. 45. 17. πληστηριάζ. 47. 22. οἶδε. 48. 2. τὴν τῶν. 50. 26. εἰρηκέναι. 51. 25. ἀχρής. μελλ. 54. 22. χρησάμενον. 63. 33. μελαίνης ἢ. 69. 17. ἔχει. 72. 5. β' λαμβ. 80. 3. αὐγὴ. 83. 7. δὲ καὶ. 84. 1. ἐπαμφοτερίζει. 85. 2. ἀβλαβοῦς. 87. 10. δὲ καὶ τὸ. 87. 21. καινωνίαν. 90. 13. del. καὶ. 94. 16. ἐνόσει δὲ τὴν διάνοιαν· ἄλλοι. 97. 13. ἄττει. 104. 22. τινῶν εἰσι δυν. 105. 26. ἕτεραι. 106. 5. καὶ τῶν. 107. 19. σωτηρίαν. 114. 23. fort. Αριστοτέλους. 118. 14. στενάγμ. 123. 23. ἀκριβοῦς. 147. 22. ἀκαταναγκας. 155. 5. εὐεξίαν. 20. γενομένοις. 157. 9. τρεπτοὶ.

C. Plantinus Lectori S.

NON inutilem ſtudioſis viris, neque ingratam rem facturus mihi videbar, ſi, quia Nemeſium nunc primum in lucem producimus, paucula de ipſo Nemeſio adderem; non vt illum laudem, nam bona merx, vt dicitur, præcone non eget: quid autem hoc commentario in ſimili argumento extat accuratius? ſed, vt quis ille tandem fuerit, verbo indicem. Philoſophum igitur fuiſſe & Epiſcopum liber eiusque index teſtantur: & ex epiſtula hac Nazianzeni, quam hîc etiam adiiciendam putaui, facilè intelligitur, quanta fuerit auctoritatis ac nominis philoſophus. Ex eadem perſpicuũ eſt eum floruiſſe Imperatore Gratiano ac Theodoſio, quo tempore Maximus etiam philoſophus, Libanius, Baſilius, multique alij præſtantiſsimi viri viuebant. Meminit ipſe Origenis & Apollinarij, quos aduleſcens vidiſſe fortaſſe potuit. De loco ὑπισχνῆς nihil comperi. Nunc ad epiſtulam. Vale.

τῷ Νεμεσίῳ.

ΕΙ σοι δοκῶ φορτικὸς συχνὰ ὑπισέλλων, μὴ θαυμάσῃς, εἰ κατερῶ σοῦ φρός σε τὸν δίκαιον δικαστήν. καὶ οἶδ' ὅτι ἀφήσεις με τῆς αἰτίας. αὐτός μοι τὸ θαῤῥεῖν ἄπιος γέγονας, τῷ φροθύμως παρέχειν τὸ αἰτεῖν φροκαλούμενος. καὶ θαυμαστὸν οὐδέν. πολλὰ γάρ ἐστιν οἷς φροθύμως ἂν δοίης τὴν χάριν, τὸ γῆρας, ἡ ἀῤῥωσία, ἡ κοινωνία τῆς λόγων· εἰ φέρ τι καὶ τὸ ἡμέτερον ἐν λόγοις· αὐτὸ τὸ ποθεῖν τὴν σωτυχίαν, ὑφὸ δὲ τῆς ἀσθενείας κωλύεσθαι, καὶ ἁμαρτάνειν τοσούτου φράγματος. ἀλλὰ τίς ἡ φρεσβεία; καὶ εἰ μὲν ἄδικος, αἰσχυνοίμην ἄνδρα τοσοῦτον· εἰ δὲ δικαία, φροθύμως ἐφίνευσον. φάλιν ὁ ἀιδεσιμώτατος ὑὸς ἡμῶν Θεοδόσιος ἥκει φρὸς τὴν σὴν λογιότητα· ὁ ἐμὸς καὶ σός· σφοφῷ μὲν ἐμός· σὸς δὲ ἱκέτης. ἥκει φρεσβεύων ὑπὲρ ἐλεεινοῦ φράγματος. ὀρφανοὶ κινδυνεύουσι, καὶ τὸ ἀνθρώπινον ἐν μέσῳ ἄδηλον ὄν, εἰς ὃ περιήσεται. καὶ μετάσταιν αἰδούμεθα παῤῥὸς, πολλοῖς ὀρφανίαν ὑπνουφίσαντος. μίαν τοῖς φᾶσι καταθου χάριν· δὸς χεῖρα τῇ συμφορᾷ, ἣν αὐτὸς δοκιμάσῃς. δεῖται μὲν γὰρ οὐδεμιᾶς φροθήκης εἰς εὐδοξίαν ἡ σὴ ἀρχή· οὐ δὲ γὰρ λαμφρότητος ἐωτφόρος· εἰ δέ τινα καὶ φροθήκην ζητοίης, οὐκ ἂν μείζων ταύτης ἕυ ἴσθι, οὐδὲ λαμφρωτέρα γένοιτο, ὡς πολλοὶ τἀληθῆ βουλόμενοι λέγειν, τὴν σὴν καλοκαγαθίαν διδάξουσιν.

GREGORIVS NAZIANZENVS
Nemesio S. D.

SI molestior crebrioribus fortaße litteris tibi videor, ne mireris velim; cùm tibi obstrepere non erubescam, homini, qui & caußam vides ac rectè diiudicas. Facilè enim scio, ab hac culpa me liberabis, qui et ipse, vt hæc auderem, auctor fueris, dum me, vt liberè à te quæ velim petam, mones. Neque verò id mirum videri debet. multa sunt enim quibus statim veniã dandam vltrò censeas; senectus, imbecillitas, studiorum communitas (si modò & nos quidquam in litteris possumus) eiusdemque tecum fortunæ amor, licet ab imbecillitate impediar, quo minùs eam consequar. Sed quæ mittendi, inquies, est caußa? Certè si inuusta esset, tanto equidem viro molestus esse vererer: nunc, quia iusta, libenter, quæso, annue. En tibi iterum adest,

adest, vir præstantiß. omni honore digniß. filius noster Theodosius, meus, inquam, ac tuus: meus quidem instituto; tuus verò vt supplex. Adest igitur miserrimæ profecto rei caußa: pupilli periclitantur; & rerum humanarum hoc est ingenium, vt de exitu semper incerti sumus. alterum accedit malum, quòd parentis mortem metuamus, qui, multis vt leuior esset ea condicio, efficere solet. Vnum igitur omnibus his beneficiũ præsta, opem feras, quæso, calamitati, quam ipse etiã spectare quanta sit possis. Ceterùm etsi bonæ existimationi tuæ in hac dignitate nulla fieri possit accessio: neque enim splendorem quærit lucifer; si tamen accessionem aliquam velis aut quæras, maiorem hac mihi crede, & illustriorem non inuenias, id quod ex alijs etiam, qui modò verum dicere velint, facilè vir clariß. intelliges.

Κεφ.α. Περὶ φύσεως ἀνθρώπου 9
β. περὶ ψυχῆς 28
γ. περὶ ἑνώσεως ψυχῆς καὶ σώματος 55
δ. περὶ σώματος 62
ε. περὶ στοιχείων 65
ς. περὶ τῆ φανταστικοῦ 75
ζ. περὶ τῆς ὄψεως 78
η. περὶ ἁφῆς 85
θ. περὶ γεύσεως 88
ι. περὶ ἀκοῆς 90
ια. περὶ ὀσφρήσεως ibidem.
ιβ. περὶ τῆ διανοητικοῦ 91
ιγ. περὶ τῆ μνημονευτικοῦ ibidem
ιδ. περὶ τῆ ἐνδιαθέτου λόγε καὶ τῆ προφορικῆ 94
ιε. ἑτέρα διαίρεσις τῆς ψυχῆς 96
ις. περὶ τοῦ ἀλόγου μέρους τῆς ψυχῆς ὃ καὶ παθητικὸν καὶ ὀρεκτικὸν καλεῖται 97
ιζ. περὶ τῆ ἐπιθυμητικοῦ 99
ιη. περὶ ἡδονῶν 101
ιθ. περὶ λυπῆς 106
κ. περὶ φόβου 107
κα. περὶ θυμοῦ 108
κβ. περὶ τῆ ἀλόγου τῆ μὴ κατηκόου λόγῳ 109
κγ. περὶ τῆ θρεπτικοῦ ibidem.
κδ. περὶ τῶν σφυγμῶν 112
κε. περὶ τῆ γεννητικοῦ καὶ σπερματικοῦ 113
Ἄλλη διαίρεσις τῶν διοικησῶν δυνάμεων τὸ κς. ζῶον 115
περὶ τῆς καθ' ὁρμην ἢ καὶ προαίρεσιν κινήσεως ἥ τις κζ. ἐστὶ τῆ ὀρεκτικοῦ 116
περὶ ἀναισθησίας 118 κη.
περὶ ἑκουσίου καὶ ἀκουσίου 123 κθ.
περὶ ἀκουσίου 124 λ.
περὶ τῆ δι' ἄγνοιαν ἀκουσίου 126 λα.
περὶ τῆ ἑκουσίου 129 λβ.
περὶ προαιρέσεως 130 λγ.
περὶ τίνων βουλευόμεθα 134 λδ.
περὶ εἱμαρμένης 137 λε.
περὶ τῆς διὰ τῶν ἄστρων εἱμαρμένης 140 λς.
περὶ τῶν λεγόντων αἵρεσιν τῶν πραικτέων ἐφ' ἡμῖν εἶναι, τὴν δὲ αἱρεθέντων ἀποφασιν ἐπὶ τῇ εἱμαρμένῃ 142 λζ.
περὶ τῶν ὡς λέγει Πλάτων τὴν εἱμαρμένην 144 λη.
περὶ τοῦ αὐτεξουσίου ὃ ἐστὶ τῶν ἐφ' ἡμῖν 148 λθ.
περὶ τῆ ὅτι ἐστὶν ἐφ' ἡμῖν τινὰ 151 μ.
διὰ ποίαν αἰτίαν αὐτεξούσιοι γεγόναμεν 155 μα.
περὶ προνοίας 159 μβ.
τί ἐστι πρόνοια 166 μγ.
περὶ τῆ τίνων ἐστὶ πρόνοια 167 μδ.

Nicasius Ellebodius Lectori S.

QVAE me ratio ad Nemesij editionem adhortata sit, Lector optime, pluribus mihi verbis exponendum esse nō arbitror. Nam si quis est, qui veteres scriptores è bibliothecarum latebris euocari & in aspectum lucemq; proferri nolit, aut non magnum iudicio suo fructum eorum laudi tribuendum existimet, quorum industrię curriculum in hoc genere studiorum elaboret, huic à iudicio & omnino ab humanitate derelicto studere probare se nemo debet. sin producere veterum eruditorum libros, & ad omnium, qui literis ducūtur, cognitionem propagare rectum in primis & reip. fructuosum omnes iudicant, scilicet verbosiùs cōmemorandum mihi non est, cur eam rem

rem susceperim, in qua versari præclarum esse, & hominum vitæ vehementer vtile inter omnes constat. Quanquam ego quidem cùm omnium doctorum monumenta, quorum dumtaxat ętas ab nostra memoria longiùs abfuerit, emi & illustrari volo; tum verò eorum maximè, qui de philosophia & quidem Gręcis literis aliquid prodidere. Nam neq; pręstantius esse quicquam philosophia potest, quippe cuius & præceptis omnis vita ad honestatem laudemq; conformatur; & regulis omnium artium & scientiarum rationes nituntur: & sermo Græcus (fieri potest vt fallar, dicam tamen quod sentio) eiusmodi est, vt hoc vno ea, quam probitatis magistram & omnium artium regūāl diximus, philosophia se mortalibus explicari, ad omnemque posteritatem transmitti velit: cæterarum gentium linguis

tractari

tractari nolit, vehementerque recusset. Hoc in genere cùm viderem esse Nemesium qui Græcè de præcipua ac necessaria philosophiæ parte, & quæ propriè ad nos pertineat, hoc est de natura hominis aptè, dilucidè, eruditè, &, in quo plus est positum, quàm in ceteris omnibus, piè differat, dedi operam, vt & Græcum exemplar prodiret in publicum, quod sexcentis locis, etsi in tam paruo opere credibile vix est, mirabiliter mendis inquinatum duorum vetustorum codicum ope expurgauimus: & Latina quoq; interpretatio, quo omnium intelligẽtiæ seruiremus, adiungeretur. Hæc pauca de cõsilio meo & opera, quam probari tibi cupio, nescire te nolui. De ceteris, cùm leges, pro arbitrio tuo existimabis. Vale.

De natura hominis	1	Cap. i.
De anima	16	ij
De iunctione corporis & animæ	39	iij
De corpore	45	iiij
De elementis	48	v
De phantasia	55	vi
De visu	58	vij
De tactu	63	viij
De gustatu	65	ix
De auditu	66	x
De odoratu	67	xi
De cogitatione	ibid.	xij
De memoria	68	xiij
De ratione & oratione	70	xiiij
Alia diuisio animæ	ibid.	xv
De parte animæ rationis experte, seu appetitione.	72	xvi
De cupiditate	74	xvij
De voluptate	75	xviij
De ægritudine	80	xix
De metu	81	xx
De ira	82	xxi
De parte rationis experte, rationi non parente	ibid.	xxij
De nutriente parte	83	xxiij
De pulsibus	85	xxiiij
De generandi, & seminandi facultate	ibid.	xxv
Alia diuisio facultatum, quæ animal administrant, pag. 87		xxvi
De motu animalium per se & electionem, ad appetitum pertinente 88		xxvij
De respiratione	81	xxviij

xxix De eo, quod ſponte, & inuitè fit 93
xxx De eo, quod inuitè fit 94
xxxi De eo, quod inuitè fit, per ignorationem 96
xxxij De eo, quod ſponte fit 98
xxxiij De electione 100
xxxiiij De quibus rebus conſultemus 103
xxxv De fato 106
xxxvi De fato, quod in aſtris ponitur 108
xxxvij De his, qui dicunt rerum agendarum optionem in nobis eſſe, exitum verò rerum optatarum in fati poteſtate 109
xxxviij Quomodo Plato fatum dicat 111
xxxix De libera voluntate, ſeu de ijs, quæ in noſtra ſunt poteſtate 114
xl Quæ ſint illa, quæ in noſtra ſunt poteſtate 117
xli Quam ob cauſſam libera voluntate procreati ſimus. 120
xlij De prouidentia 124
xliij Quid ſit prouidentia 130
xliiij Quarum rerum ſit prouidentia 131

FINIS.

Nemeſij

De natura hominis.

CAP. I.

HOMINEM *ex animo intelligente, & corpore rectiſſimè cõſtructum eſſe, atq; ita quidem rectè vt aliter fieri, ac cohæreré non poſſit, multi, ijq; boni viri exiſtimarunt. Sed cùm hoc habeat controuerſiam, quòd intelligens animus dicatur, vtrum intelligendi vis ad animum, velut diſparquædam natura, ad diſparem naturam accedens, intelligentem eum efficiat: an intelligentiã à ſeipſo, atque ſuapte natura habeat, atque vt corporis oculus, ita hæc eius pulcherrima pars ſit: aliqui, in quibus eſt Plotinus, aliud eſſe animum, aliud intelligentiam ſtatuentes, ex tribus hominem conſtare volunt, corpore, animo, intelligentia. Quos etiam Apollinarius ſecutus eſt, Laodiceæ Epiſcopus: nam hoc opinionis ſuæ iacto fundamento, reliqua ſuo dogmati conuenienter aſtruxit. Nõnulli non ſeparârunt ab animo intelligentiam, ſed in ea principatum eſſe animæ opinantur. Ariſtoteles verò eam quidem intelligentiam quæ poteſtate eſt, vna cum homine fabricatam putat: ſed eam quæ actu eſt, extrinſecus ſe inſinuare nobis, neque ad eſſentiam hominis, ſed ad progreſſionem cognitionis, & contemplationis rerum naturalium, conferre. Nam paucos admodum homines, & eos ſolos qui ſe philoſophiæ dediderunt, intelligentiam actu habere confirmat. At Plato quod in homine præſtantiſſimum eſt in-*

tuens, eoq3 nos ad vnius animi diuinitatem, curamq3 conuertens, non quod ex corpore & animo iunctum est, sed animum ipsum tali corpore vtentem, hominem esse dicit: scilicet vt animum nos esse credentes, spretis, & contemptis cupiditatibus corporis, vtpote quæ hominis non sint, qua homo est, sed primario loco animalis. secundario hominis, (quoniam & animal homo est) sola animi bona, virtutes, & pietatem persequamur. Neque tamen certè inter omnes non constat animum corpore potiorem esse, cùm ab hoc corpus velut instrumentum moueatur, Declarat hoc perspicuè mors, siquidem anima seiuncta, omnis motus & muneris expers corpus manet: non aliter atque artifice remoto nullo motu cieri possunt instrumenta. Iam verò illud nemo est qui ignoret, hominem & cum inanimis conuenire, & bestiarum vitæ esse participem, & cum ratione præditorum mente quadantenus coniungi. Nam cum inanimis quidem, conuenit in corpore, & quatuor elementorum temperatione. Cum stirpibus, & in his ipsis, & in altrice & procreatrice anima. Cum rationis expertibus non solùm in his omnibus, sed etiam in motu interiore, in appetitu, in ira, denique in sentiẽdi, spirandiq3 facultate. Hæc enim omnia, communia sunt hominum, et rationis expertium, etsi non omnia omnium. Mente porrò, & ratione, cum corporis expertibus, & intelligentibus naturis coniungitur, cùm ratiocinetur & intelligat & iudicet omnia, & cùm cæteras virtutes sequatur, tum pietatem, in qua virtutum omnium summa est, amplexetur. Quapropter velut in confinio est sensum mouentis, & quæ mente comprehenditur naturæ, quòd, (vt iam explicatum est) corpore, et corporis facultatibus ad cætera animalia, & inanima; ratione ad corpore vacantes substantias accedat. Nam

huius

huius pulcherrimæ fabricæ opifex & sator videtur sensim dispares inuicem naturas aptasse, vt vnum essent omnia, & inter se cognatione quadam tenerentur. Ex quo maximè vnum esse qui vniuersitatem rerum procreauerit, ostenditur. Non enim solùm iunxit singulatim indiuidua, sed etiam omnia quæ vbique sunt aptè inter se composuit. Sicut enim in vnoquoque animali, quæ sensu carent, os, adipem, pilos, & alia eiusdem generis, cum ijs quæ sensum habẽt, neruis, carnibus, et similib9 cõiunxit: & ex his vtrisque animal conflauit, neque conflauit solùm, sed etiam vnum effecit: sic in reliquis rebus, cuiuscunque sint speciei, fecit, easq3 naturæ cum similitudine, tum discrepantia, pedetentim procedente inter se constituit, vt neque multum quæ prorsus sunt inanima, à stirpibus quæ nutrientem habent animam, dissideant: neque rursus hæ à bestijs, & reliquis animantibus quæ anima sentiente instructa sunt: neq3 porrò bestiæ, ab intelligentibus naturis planè deiungantur, nulloq3 cum eis fœdere & insito naturali que vinculo colligentur. Lapis enim à lapide differt vi quadam, sed Magnes lapis à natura & vi cæterorum lapidum discessisse videtur, cùm ferrum ad se perspicuè trahat & contineat, id que velut alendi sui causa facere videatur. Neque id in vno ferro efficiat. sed etiam aliud per aliud cohibeat, quòd omnibus sibi adhærescentibus, vim suam impetrat. Itaque etiam ferrum tenetur à ferro, cùm ipsum à Magnete continetur. Deinceps ædificator mundi Deus à stirpibus ad animalia transiens, non protinus ad gradiendi sentiendi que vim deuenit, sed gradatim eò & concinnè progressus est. Pinnas enim, & vrticas marinas, velut sentientes arbores effecit, quoniam eas in mari instar stirpium suis radicibus defixit, & testis quasi lignis circundedit, & non

